[illegible] 1791.

# ΕΠΙΣΤΟΛΗ

## ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΙΟΥ

## ΕΥΓΕΝΙΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΠΡΩΗΝ

## ΣΛΑΒΩΝΙΟΥ

## ΚΑΙ ΧΕΡΣΩΝΟΣ.



ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΒΟΥΛΗΣ ΤΩ[illegible]

ΤΕΡΓΕΣΤΙΩ,

Ἐν τῇ Τυπογραφίᾳ τοῦ Ἰω[illegible] Μ[illegible]ίου
Σαϊρχανδίου, ͵αψϟζ.

ΕΤΑΙΡΕΙΑ [illegible] ΤΩΝ
[illegible]
ΒΙΒΛΙΟΘΗΚΗ [illegible] ΚΑΝ[illegible] ΔΟΣΕΩ
ΔΩΡΕΑ Αγορα
ΗΜΕΡ. Μ.
ΑΡΙΘ. 18963

# ΕΠΙΣΤΟΛΗ

## Τοῦ σοφωτάτου κυρίου Εὐγενίου Ἀρχιεπισκόπου πρώην Σλαβωνίου καὶ Χερσῶνος.

*Τῷ ὁσιωτάτῳ καὶ Λογιωτάτῳ ἐν Ἱεροδιακόνοις κυρίῳ Παγκρατίῳ χαίρειν!*

*Εὐγέν: ὁ Ἀρχιεπίσκοπος.*

Ὅτι τὰ Καλοκινήματα γράψας τε καὶ τύποις ἐκδοὺς, ἅπερ ἀρτίως ἡμῖν ἐπέστειλας, ἐμοῦ ὑπὸ ζήλου κινηθεὶς ἔγραψεν αὐτὰ, τὸ κίνημα οὐκ ἔστι καλόν: εἰ τὰ καλοκινήματα αὐτὰ ὤφειλεν ἐπιγράψαι ἀληθέστερον, κακοκινήματα. Εἰσὶ γὰρ κατὰ φθόνον, κατὰ δὲ ζῆλον ὅλως ὀπαδὸν τῷ

γραφίδα ἐκίνησεν, ὡς ἡ ἐπιγραφὴ παραδηλοῦσα φαίνεται, ἡ δευτέρα: τοῦτο πάλιν τὸ κίνημα, κἂν ὑποτεθῇ καλόν. ἐπαριστερόντως ὅμως ἐνταῦθα ἔοικε πίπτειν, ὡς προθύστερον. Ἡ τάξις εὐθυβόλως ἀπῄτει, πρῶτον τοῦ φθονοῦντος τὸν θεατρισμὸν, ἢ τοῦ φθονουμένου τὴν δήλωσιν. καὶ καθ' ἑξῆς ἀκολούθως ἀνεκάλει τὴν κατὰ τοῦ φθόνου καταφορὰν, καὶ τὴν θρηνῳδίαν τὴν ἐπὶ τοῖς ἐλεεινοῖς καὶ πικροῖς γεννήμασιν, ὅσα ὑπὸ τοῦ τοιούτου πάθους ἐκφύεται. Ἀλλ' ὁ λυρῳδὸς ἡμῖν οὗτος ἀθετεῖ τοὺς λυρικοὺς νόμους, καὶ πρὸ τῆς στροφῆς καὶ ἀντιστροφῆς λυρῳδεῖ ληρῳδῶν τὴν ἐπῳδόν. καὶ πρὶν ἢ στήσῃ τὰ πρῶτα, προλαμβάνει τὸ ὕστερον ἀτάκτως, καὶ ῥεμβικῶς ἐπανακυκλεῖ τὸν ἤδη κοινότατον καὶ τετριμμένον καὶ ἕωλον τόπον τὸν κατὰ τοῦ φθόνου, ὡς ἀπ' Ἀκρίβαντος ῥητορεύων κατὰ περιττὴν ἐπανάληψιν: ὁ φθόνος... ὁ φθόνος... ὁ φθόνος. οἷον ἐπὶ ὁμηγύρεως ἐπ' ἀκροάσει ἀθροισθείσης πρεδικατορικῶς ἐκκλησιάζων, ἢ μᾶλλον ἐπὶ Καφενίτιδός τινος λέσχης, μεταξὺ τῶν θιασωτῶν αὐτοῦ καὶ συνήθων, γλωσσοκροτῶν ἀκαίρως, καὶ ἀμεθόδως ἐπικομψευόμενος.

Κακὸν ὁμολογουμένως ὁ φθόνος καὶ τῶν

κα-



κακῶν τὸ κάκιστον, ὑπὸ πάντων μαρτυρεῖται, καὶ ὑπ' αὐτῶν σχεδὸν τῶν κυριευομένων ὑπὸ τοῦ πάθους. τίς ἀγνοεῖ; ἀλλ' ἔχει καίτοι καλόν. τὸ ποῖον;

„ Τήκει γὰρ φθονερῶν ὄμματα καὶ καρδίην.

Ἡ πηλιὰς μελίη τοῦ Ἀχιλλέως, ἐτίτρωσκεν, ὡς λέγουσιν, ἡ αὐτὴ καὶ πάλιν ἰάτρευε τὸν τρωθέντα. ἡ μελία τοῦ φθονεροῦ ἔχει ἄλλο ἰδίωμα. ἀντιτρώσκει αὕτη τὸν τιτρώσκοντα δριμύτερόν τε καὶ ἀλγεινότερον, παρὰ τὸν τιτρωσκόμενον. Αὐτὸ καθ' αὐτὸ τὸ τοιοῦτον πάθος γίνεται πληγὴ ὀδυνηρὰ, τραῦμα μέγα καὶ δυσθεράπευτον τῷ νοσοῦντι. καθ' οὗ φάρμακον οὐδὲν ἰσχύει, οὔτ' ἔγχριστον, οὔτ' ἐπίπαστον. ὅθεν καθίσταται καὶ ποινὴ δικαιοτάτη τοῦ τρέφοντος καὶ περιθάλποντος. καὶ καλῶς ὁ εἰπών. „ ὑπὸ
„ τῆς ἰδίας ἕκαστα κακίας σήπεται. οἷον,
„ ὁ μὲν ἰὸς τὸν σίδηρον, ἂν σκοπῇς. τὸ δ'
„ ἱμάτιον οἱ σῆτες. ἡ δὲ θρὶψ τὸ ξύλον.
„ ὁ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων φθό-
„ νος, φθισικὸν πεποίηκε, καὶ ποιήσει καὶ
„ ποιεῖ.„ ψυχῆς πονηρᾶς δυσσεβὴς παρα-
„ στάτης. „

Ἰδοὺ τὸ ἐκ τοῦ φθόνου καλόν. μήπως εἰς τοῦτο ἀπέβλεπε καὶ ἡ τοῦ Ἐγχειριδίου τοῦ



Ψα

λίδα ἐπιχειρῇ, τὰ Καλοκινήματα; λὰ πάλιν ὧδε, ἀπορία ἄλλη ἐπανα-ύεται.

Ἡ ἐπιγραφὴ τοῦ Ἐγχειριδίου μὴ ἁπλῆ οὖσα, συμπεπλεγμένη δέ πως καὶ διμο-ῆς, καθὼς καὶ ἐπὶ τῶν Πλατωνικῶν διαλόγων. ἔπειτα πάλιν ἡμῖν ὑποβάλλει προσφυὲς τοῦτο, ἢ πλεῖστον ὑπαμφιβόλον. ἔχει γὰρ οὕτω: „ κατὰ φθόνου καὶ κατὰ τῆς Λογικῆς τοῦ Εὐγενίου. πῶς „ ἄρα οὕτως ἀπὸ κοινοῦ ἐπιγέγραπται; καὶ „ ὁποία τις ἡ (διὰ τοῦ καὶ) συμπλοκὴ αὕ„ τη; (κατὰ τοῦ φθόνου καὶ κατὰ τῆς „ Λογικῆς τοῦ Εὐγενίου) πότερον; ὅτι ὁ „ φθόνος ἐστὶν ἡ Λογική; ἢ ὅτι ἡ Λογικὴ ἐστὶν ὁ φθόνος; καὶ τοῦτο πάλιν πῶς; ὅτι ἡ Λογικὴ φθονεῖ; ἢ ὅτι ἡ Λογικὴ φθονεῖται; ὅτι πάσχει τὸν φθόνον; ἢ ὅτι ἐνεργεῖ; ἀλλὰ πρὸς οὐδέτερον καθ' ἑαυτὴν ἔχει φύσιν ἡ ἕξις· οὔθ' ὕεται, οὔθ' ἡλιοῦται. τε, τὸ μᾶλλον εἰκός, ἀντὶ τῆς ἕξεως νοητέον αὐτὸν τὸν ἔχοντα, μεταληπτικῶς. τουτέστιν, ἀντὶ τῆς Λογικῆς, αὐτὸν τὸν τὴν Λογικὴν συγγράψαντα Εὐγένιον. πάντως. πλὴν, ἀνακύπτει κἀντεῦθεν ἔτι ἄπορον ἄλλο, ἐξ αὐτῆς τῆς τοῦ βιβλιδαρίου περιοχῆς καὶ προθέσεως.

Ἐν



Ἐν τῷ Ἐγχειριδίῳ προτίθενται Λογικαὶ καὶ μάλιστα δύο. ἡ μία ἐκ πολλοῦ εἰς τὸ φῶς προκύψασα, ἡ ἄλλη ἐκ νέου ὅσον οὔπω προκύψασα. ἐκείνην, καλῶς κακῶς συνέρραψε πρὸ ἐνιαυτῶν ἤδη τριάκοντα ὁ Εὐγένιος. ταύτην, προλαβὼν μὲν λατινιστὶ συνέταττεν ὁ Γερμανὸς Βαϋμεϊστέρος, προσφάτως δ' ἐξελληνισθεῖσαν ἐπιδιώρθωσεν, ἐκτένισεν, ἐνυμφοστόλισε, καὶ ἐνυμφαγώγησε. τό, τε προοίμιον ἐν αὐτῇ ἐμμελέστατα προανακρούσας, καὶ τὴν προσφωνητήριον ἐπιστολὴν γλαφυρώτατα συντάξας, ὁ λογιώτατος Ψαλίδας. ἧς καὶ προανακηρύττει ἐν τοῖς αὐτοῦ Καλοκινήμασι τούτοις, ὡς Καλοθελητὴς τῶν φιλομούσων Ἑλλήνων, τὴν εἰς βελτίον ἐκτύπωσιν. Τίς τοίνυν τῶν δύο τούτων Λογικῶν; ἢ μᾶλλον, (κατὰ τὴν προειρημένην μετάληψιν) τίς τῶν δύο τούτων Λογικογράφων καθυπέπεσε τῷ φθόνῳ; ὑπὲρ οὗ τὰ ἐπὶ τῶν Καλοκινημάτων ἐγκώμια τοῦ φθόνου ἐπισεσώρευται; ὁ Ψαλίδας; ἢ ὁ Εὐγένιος; ὁπότερος δ' ἂν τούτων ὑποτεθείη, πότερον ἄρα, ὡς φθονῶν οὗτος εἰσάγεται, ἢ ὡς φθονούμενος; τῶν τελευταίων τούτων ἀπορημάτων, οὐδαμόθεν ἄλλοθεν, ἢ ἐξ αὐτοῦ τοῦ βιβλιδαρίου ἤρτηται ἡ ἐπίλυσις. πάντως



ἐκ

ἐκ τῆς ἐν αὐτῷ περιεχομένης διηγήσεως τοῦ δράματος, τοῦ περὶ τὴν ἔκδοσιν τῆς τοῦ Βαϋμεϊστέρου Λογικῆς συμβάντος, γίνεται κατάδηλον, ὅτι ὁ ταύτην ὑοθετήσας, φιλοκαλίσας, ἠμελησάμενος, τουτέστιν ὁ Ψαλίδας αὐτὸς οὗτος ἦν ὁ φθονούμενος. οἱ φθονοῦντες δὲ φαίνονται τὰ δύο χαμερπῆ, καὶ εὐτελῆ, καὶ οὐδαμινὰ ἀνθρωπάρια, οὓς ἀνωνύμως ἀναφέρει ἀποκλαιόμενος. ὁ μὲν ἐκείνων Μαμμάκουθός τις, ὡς λέγει, ἀμβλύνους, φενακοφόρος, ἀπατεών. ὁ δέ τις καλουτζοφόρος, κουκουλλάτος, μελανείμων, ὑποκριτής. ἐκεῖνος εὐηθείας τε καὶ ἀνοίας, οὗτος δὲ τύφου τε καὶ ἀπονοίας ἀνάπλεως. φθονεροὶ ἀμφότεροι καὶ βάσκανοι ἄνθρωποι! οἱ, τό, τε κριτικώτατον ὑπὸ τοῦ Ψαλίδα συντεθὲν προοίμιον τὸ πρὸς τὸν ἀναγινώσκοντα, καὶ τὴν ἀξιάγαστον αὐτοῦ προσφωνητήριον ἐπιστολὴν πρὸς τὸν Αὐθ: Μ... ἐκσυρίξαντες, καὶ ἀντὶ τούτων τὰ παρ' αὐτῶν ἀντεισενεγκόντες ἀμέλειτοι ἀμβλωθείδια. Ἰδοὺ σαφῶς, τίς ὁ φθονούμενος, καὶ τίνες οἱ φθονήσαντες, καὶ παροξύναντες τὸν ἄνδρα εἰς τὸ τὰ Καλοκινήματα γράψαι, ὅσον ἐστὶ μαθεῖν, ἐξ ὧν αὐτὸς ἀφηγήσατο. Πόθεν οὖν ἐνταῦθα προβαίνει ἐπὶ τῆς σκηνῆς ὁ Εὐ-

ὁ Εὐ-



ὁ Εὐγένιος; τί συντείνων; ἢ τί κοινὸν ἔχων; πότερον καὶ οὗτος, ὡς φθονῶν κατὰ τοὺς δύο ἐκείνους; ἢ ὡς φθονούμενος; ἢ ἀμφότερα ἅμα, καὶ κατὰ τὸ αὐτὸ ἑκάτερον; ἀλλ' ὡς φθονῶν, τίνα; ἀλλ' ὡς φθονούμενος, ὑπὸ τίνος; ἐνταῦθα ἵσταμαι! καὶ θαυμάζω! καὶ σιγῶ! κρινάτω ἄλλος, ὅς τισοῦν θέλει, καὶ ὅπως αὖ καὶ θέλῃ... τοσοῦτον μόνον ἐρῶ: ὅτι ἀφυὴς ἐγὼ πρὸς ἐκεῖνο, ἀνάξιος πρὸς τοῦτο. καὶ κατ' ἐκεῖνο μέν, οὐδένα οἴδαμεν τὸν ἡμᾶς αἰτιασάμενον πώποτε, ὡς ὑφ' ἡμῶν φθονηθέντα, ἄχρι τῆς σήμερον. κατὰ δὲ τοῦτο, οὐδ' ὑποπτεῦσαί ποτε ἐδυνήθημεν, ὅτι ἡμεῖς παρά τισιν ἐπίφθονοι κατεστάθημεν. οὐχ οὕτως ὑψηλὰ περὶ ἡμῶν αὐτῶν φρονοῦντες τυγχάνομεν, οὐδ' εἰς τοσοῦτον παρεξηνέχθημεν ἀνοίας, (τῷ Θεῷ χάρις) ὥστε καὶ φθόνον κινεῖν παρὰ τοῖς ἄλλοις διά τε εἶναι οἴεσθαι τὰ ἡμέτερα, λιτά τινα ὄντα, καὶ μετριώτατα. ἀλλὰ συγγνώμης μᾶλλον τυχεῖν ἐλπίζομεν παρὰ τοῖς ἐχέφροσιν, εἴ τι ποτὲ καὶ φιλοπονῆσαι ἐσπουδάσαμεν, ὡς, κἂν ἀτελές, μὴ μέντοι ἀλυσιτελές τὸ παράπαν καὶ φροῦδον τοῖς ὁμογενέσι δόξαντες αὐτὸ ἐσόμενον. οὐ γὰρ ὡς ἀγάλμασιν ἡμεῖς ἐνατενίζειν εἰώ-

θα·

θαμεν τοῖς ἰδίοις γεννήμασιν, οὐδὲ τοὺς πι-
θήκους μιμούμεθα. καί τοι ἄλλως, οὐδὲ πάνυ
σφόδρα αὐτοὺς μεμφόμεθα. πιθηκίζοντες
γάρ, ποιοῦσι τὰ ἑαυτῶν. αὐτοῖς δὲ σφί-
σιν, τὰ μὲν σφαλλομένοις, τὰ δ' ἴσως καὶ
κατορθοῦσιν ἐν μέρει, οὐκ ἐκεῖνο παραιτού-
μεθα, οὐδὲ δυσχεραίνομεν, ἣν ἐπιγραφῇ,
τὸ Οὐήνου διστιχίδιον.

„ Ἢν πάντ' αἰνήσῃς τάδε τὰ μὰ, ἔσῃ
εὐήθης.
„ Ἀθρόα δ' ἢν ψέξῃς, βάσκανος ἢ
ῥ' ἔσεαι.

Πρὸς δὲ τὸν φίλον τὸν φθονεῖσθαι ἀπο-
κλαιόμενον ἐπιστραφεὶς λέγω. μὴ ἀθυμεί-
τω ὁ καλὸς Ψαλίδας. μὴ θροείσθω. θαρ-
ῥείτω. μένει αὐτὸς ἐν ἀσφαλεῖ, ὅσα γ' ἐν-
ταῦθα. οὐδεὶς αὐτῷ φθονῶν εὑρεθήσεται,
τοῦ ὅπως ἐπὶ τοῖς αὐτοῦ μεγαλαυχουμένῳ,
νῦν ἔχων. κείσεται αὐτὸς ἔξω βελῶν
βασκανίας. οὐδ' ὡς ἀποτροπιαζομένῳ δεή-
σει, ἐμπτύσαι τρὶς εἰς τὸν κόλπον αὐτὸν
τὸν αὐτοῦ, ὡς μὴ βασκανθῇ. οὐδεὶς αὐτοῦ
καθάψεται φθόνος. εἰ μὴ τυχὸν οὕτω νεα-
νιευομένῳ μῶμος, καὶ ὀλιγωρία, καὶ οἶκ-
τος. εἶεν.

Ἐκ τῶν εἰρημένων φανερὸν καθέστηκεν, ὅτι
ὁ συγ-



ὁ συγγραφεὺς τῶν Καλοκνημάτων, οὐδ'
ὡς ἔδει αὐτὰ ἐπιγράψαι ἠπίστατο. καὶ ηὐχό-
μην ἐνταῦθα στῆναι. Ἀλλ' αὐτοὺς ἀγα-
πητέ μοι κὺρ Πατρίκιε, ὡς συνορῶ, διὰ
τῆς φιλικῆς σου ἐπιστολῆς, τοῦτο οὐ στέργεις.
ἐπιθυμεῖς δὲ παρ' ἐμοῦ, καὶ τινα ἀνασκευ-
ὴν τῶν διαφόρων λήρων, ὧν κατ' ἐμοῦ ὁ
Ψαλίδας, κατεψαλίδισε. τί; τὴν Αὐγείου
κόπρον ἀνασκαλεύσαι τε καὶ καθᾶραι ἐπιχει-
ρήσομεν; ὦ!.... ὁ συμφορὲς ἀηδής! ὀχλη-
ρὸν τὸ ἔργον! ἴσως καὶ περιττόν. ἐκείνῳ
μὲν, μὴ καὶ πάλιν ἀνακοπείσῃ. σοὶ δὲ,
ὅτι ἐξ ὧν εἶδες ἐπὶ τῆς ἐπιγραφῆς, ἐξει-
κάσαι δυνήσῃ, οἷα καὶ τὰ ἄλλα τὰ ἐν τῷ
Ἐγχειριδίῳ γραφόμενα. Ἐκ τοῦ κρασπέδου
δῆλον τὸ ὕφασμα. καὶ ὁ σαθρὸς κλάδος,
ὁ ἐν τῷ οἰνοπωλείῳ τούτῳ, ὡς χαράσημον,
ἠρτημένος, ἱκανῶς ἐξελέγχει, ὁποία τις
ἔνδον ἡ τῆς καπηλείας ἐστὶν ἀποθήκη. σα-
πρὸς ὁ οἶνος, ὃν ἀποταμιεύει αὐτοῦ ὁ κάδ-
δος. οἶνος οὐ μόνον δευτερίας, ἀλλ' ἐκτροπίας·
ἀλλ' ἐξεστηκὼς, ὀξίνης, πάντη ὀξώδης.
οὐδὲν ὑγιές. οἶνος οὐχ οἷος καρδίαν καθηλα-
ρύνειν, ἢ εὐφραίνειν, ἀλλὰ τὸν στόμαχον
εἰς ναυτίαν διατιθέναι, καὶ εἰς ἔμετον κι-
νεῖν. πλὴν, οὐχὶ πρὸς ἐκεῖνον ἐπιστρεφόμενος
ἐγὼ

ἐγὼ τὸν κάπηλον, ἀλλ᾽ ἐπὶ τοὺς παριόντας
μᾶλλον, ὃς φωνῇ μεγάλῃ αὐτὸς προσκα-
λεῖ κεκραγώς. πίετε τὸν οἶνον, ὃν ἐγὼ
κεκέρακα ὑμῖν τοῦτον: ἵνα μήτις τυχὸν
ἐξαπατηθεὶς ἄδην ἀπορροφήσῃ τῶν ὕθλων,
ὧν καὶ κατὰ τῶν ἡμετέρων φιλοπονημάτων,
καὶ καθ᾽ ἡμῶν αὐτῶν προσωπικῶς ὁ ἀναι-
δὴς καὶ θρασὺς ἄνθρωπος, ἐξ οὐδεμιᾶς
εὐαφόρμου προφάσεως κινηθεὶς, εἰκῇ κατεσ-
κέδασεν. Γδύσοι ἑκὼν, ἀέκων, ἐπειδὴ συν-
τόνως αἰτεῖς, ἐκ τῶν ἐκείνου παραληρημά-
των ὧδέ τινα παραθήσομεν.

Πρὸ πάντων, ὁ τὸν τοιοῦτον ἡμῖν προ-
πιὼν κυκεῶνα, ὡς δῆθεν μεθοδικὸς ὢν
ἐν συγγραφαῖς ἀκριβέστατος, καὶ οἷον Ἀρι-
στοτέχνην Ἀρχιτέκτονα ἑαυτὸν αὐτόκλητος ἐπι-
στήσας, εὑρίσκει τὴν οἰκοδομὴν τῆς Λογι-
κῆς τοῦ Εὐγενίου συγκεχυμένην καὶ ἄτακτον.
παπαί! οὕτω ναί; Ἀλλ᾽ ἐν αὐτῇ τὰ μέρη
ἅπαντα συννεύειν ἔοικε, καὶ κατ᾽ ἀκολουθίαν
εὐαρμόστως συνείρεσθαι. τὰ βιβλία, εἰς ἃ
τὸ σύγγραμμα ἐκεῖνο διαιρεῖται, κατὰ δια-
δοχὴν τοῖς ὑποκειμένοις πράγμασι πρέπου-
σαν, ἄλλο μετ᾽ ἄλλο, φαίνεται ὅτι συνά-
πτονται προσφυῶς, καὶ διὰ τοῦτο εὐλόγως.
καὶ ἐν τοῖς βιβλίοις κεφάλαια, κατὰ τὴν
δια-



διαφορὰν τῶν ἐν ἑκάστῳ πραγματευομένων,
ἀλλήλοις συνήρτηνται. καὶ τὰ παράγραφα
τῶν κεφαλαίων, ὡς διὰ κρίκων τῶν δὲ (§. §.)
κατὰ σειρὰν συνεχόμενα τοῖς θεωρήμασι
συστειχοῦσι, διὰ συχνῶν ἀνακαλούμενα πα-
ραπομπῶν, πρὸς ἐπανάμνησιν μὲν τῶν
προηγησαμένων, ἐπιστηριγμὸν δὲ τῶν ἑπο-
μένων καὶ διασάφησιν. ὡς δῆλον γίνεται
τοῖς ὀφθαλμοὺς ἔχουσι τοῦ βλέπειν, καὶ νοῦν
τοῦ συνιέναι. ὥστε ἡ τοῦ δαιδαλόχειρος τούτου
Ἀρχιτέκτονος ἡμῶν στάθμη, οὐκ ἦν ἄλις
μολιβαχθής. οὐδ᾽ ὁ πέλεκυς στιβαρός. οὐδ᾽
ὁ πρίων ἰθύδρομος. ἔπειτα: οὐχὶ αὐτὸς
αὐτόθι ὡμολόγησε φθάσας, ὅτι τὸ σύστη-
μα καὶ ἡ μέθοδος τῆς τοῦ Εὐγενίου Λογι-
κῆς ἐφιλοτεχνήθη κατὰ τοὺς νεωτέρους; οἱ δὲ
νεώτεροι, οὐχὶ πολλὴν ἐν οἷς συγγράφουσι
τὴν πρόνοιαν ποιοῦνται τῆς μεθοδικῆς τάξεως,
ὥστε καὶ τὴν γεωμετρικὴν ἔφοδον, ἐν ἄλλαις
ὑποθέσεσιν, ὡς οἷόν τε διασώζειν πολλάκις
φιλοτιμεῖσθαι, ὡς πάντες ἴσασιν; ἀλλ᾽
ὅμως ὁ αὐτὸς οἷον ἐπιλησθεὶς τοῦ ῥηθέντος,
ἀνάπαλιν τοὐναντίον ἡμῖν ἐπαιτιᾶται τῶν
ἰδεῶν ἀταξίαν καὶ σύγχυσιν. οὕτω παλίν-
τροπος ὁ ἀνὴρ ἐν οἷς κρίνων ἀποφαίνεται.
καὶ τῷ ὄντι νόσιμος. ἀλλὰ καὶ τὸ ἔτι
μᾶλ-

μᾶλλον καταγελαστότερον, ὅτι τάξεώς τε καὶ μεθόδου ἡμῖν ἐγκαλῶν ἔλλειψιν, ἐν τίνι ὡρισμένως εὗρε τὸ ἀμέθοδον καὶ τὴν ἀταξίαν, οὐ δείκνυσι. Καὶ φῄη τι καὶ τὸ φῄσι· οὐκ ἔχει τί φῇ, ὅ, τι καὶ λόγου ἄξιον.

Κρίνας οὕτω τῆς Λογικῆς τὸ ἄτακτον καὶ συγκεχυμένον, ἐφεξῆς κακίζει καὶ τὴν φράσιν, ᾗπερ ἐν αὐτῇ ἐχρησάμεθα. — ἀλλ' ὅσα μὲν ἀνήκει τῷ λεκτικῷ χαρακτῆρι, εἰλικρινῶς ὁμολογοῦμεν, ὅτι μετρίως πάνυ περὶ τὸν Ἑλληνικὸν λόγον ἡμεῖς ἀσκηθέντες, οὐχ ὡς ἔδει τὴν γλῶτταν ἀνεκαθήραμεν· οὐδ' ἀγνοοῦμεν ὅσον τοῦ ἀκριβοῦς πολὺ κάτω ἀπολειπόμεθα γράφοντες, καὶ ὡς τὰ πλεῖστα ὑφέρποντες τῷ λόγῳ καθυπτιάζομεν, ἢ καὶ παραφερόμεθα . . . . .

Ἦν ὅτε παισὶν Ἑλλήνων ἐγίνοντο λόγοι χρυσοῖ. τὰ νῦν δὲ σίδη οἱ πάντες.

ὃ καὶ ὁ σοφιστὴς ἐφ' ἑαυτοῦ ὠδύρετο ποτνιώμενος. ὡς εἴτινες καὶ καθ' ἡμᾶς εἰσιν ἐν τοῖς ἡμετέροις, οἱ λόγων εἶναι δημιουργοὶ ἀβρυνόμενοι τῶν τῆς ἀρχαίας χειρὸς, ἢ ὅτι ἔγγιστα γενέσθαι σπουδάζοντες, ζηλωτοὶ ἔμοιγε τῆς προθυμίας οὗτοι; μακαριστοὶ δὲ τῆς δυνάμεως. αὐτοῖς δὲ σφίσι τοῦ καλοῦ ἔτι ἀπολειπομένοις τοσοῦτον ἀρκέσει, ἢν

πο



ποτέ τι εἰπεῖν, ἢ γράψαι ἐπιβαλοίμεθα τῶν θεωρίας μάλιστα δεομένων καὶ σκέψεως ἐπιστήμονος, τὸ χυδαιολογίας ὡς οἷόν τε ἀσπουδάζειν ἀπέχεσθαι. καὶ ταῦτα μὲν ταύτῃ. εἰδ' οὖν ἄλλως τὴν φράσιν ἡμῖν (ὡς δοκεῖ) ὁ Ψαλίδας κακίζει, ὡς ῥητορικήν τινα καὶ κομψὴν, ὅ φησι, καὶ γριφώδη; τοῦτο δὴ ἐπιεικῶς ἡμᾶς διαπέφευγε. καὶ τοῦγε ἕνεκα, ὅπερ ἡμᾶς διέλαθε, παρ' αὐτοῦ συγγνώμην αἰτοῦμεν, ἣν καὶ καλῶς ἂν ἐποίησε χαρισάμενος. ἀλλ' ἐκεῖνο γοῦν τέως ὤφειλεν ἡμῖν ὑπαινίξασθαι, προσθεὶς καὶ τὴν ῥητορείαν ἅμα καὶ τὴν κομψείαν, ὧν ἐπελάβετο. καὶ τίνες ἄρα οἱ γρίφοι οἱ ἀφ' ἡμῶν ὡς ἀπὸ Σφιγγὸς κελαινῆς ἀποχρημφθέντες, καὶ τῆς Οἰδίποδος φρενὸς πρὸς ἐπίλευκανσιν ἐπιχρῄζοντες.

„ Σκοτεινὰ (φησὶ) τὰ πρὸς διασάφησιν
„ τῶν προτάσεων ἐπαγόμενα παραδείγματα.
„ ὡς ἐξ ἀλλοτρίων ἐπιστημῶν, πρὸς ἐπί-
„ δειξιν προτιθέμενα.

Ἀλλ' ἤτοι ἀδαὴς ἐστὶ μὴ εἰδὼς ὃ λέγει. ἢ εὐήθης τὸν μὴ εἰδότα πλαττόμενος. ὅτι ἐλευθεριάζειν ἐξεῖναι περὶ τὴν χρῆσιν τῶν παραδειγμάτων ἐνόμισαν, διάφοροι συγγραφεῖς καὶ παλαιοὶ καὶ νεώτεροι. ὧν, εἴπερ

ἦν

ἦν ἐπάναγκες, ῥᾷστα ἄντις καὶ τὰ βιβλία καταλέξειε καὶ τὰ ὀνόματα. οὐ μόνον δὲ ἐφεῖται, ἀλλὰ καὶ σύνηθες τὸ τοιοῦτο καὶ φίλον, τὸ παρασπείρειν, δηλονότι, τὰ καὶ ἐξ ὀθνείων τινῶν εἰδήσεων εἰς παράδειγμα, ὅταν συντελῇ πρὸς αὐτὰ εἰς ὁποιανδήποτε τοῦ προκειμένου σαφήνειαν. ποιοῦσι δὲ τοῦτο οἱ συγγραφεῖς οὐκ ἐπιδεικτιῶντες, ὡς αὐτοὺς διαβάλλει κενοφρονοῦντι καὶ θρασυνόμενος. ἀλλ' ὑποκνίζοντες ὁπωσοῦν, καὶ διεγείροντες τὸ φιλομαθὲς τοῦ μετιόντος εἰς πορισμοῦ ἔφεσιν καὶ ἑτέρων εἰδήσεων. δέονται καὶ γὰρ αἱ μαθήσεις ἀλλήλας. καὶ συνεῖναι θέλουσιν αἱ Μοῦσαι, καθ' ὃ καὶ καλεῖσθαι ἔλαχον, ὡς ὁμοῦ οὖσαι. Ἀπαιτοῦσι δὲ οἱ τοῦτο ἐπιτηδεύοντες, παρὰ μὲν τῶν μαθητιώντων, οὐδὲν πλέον πρὸς τὸ παρὸν, ἢ τὴν πρόληψιν τοῦ ὑποτιθεμένου ἱστορικῶς οὕτω καὶ ὀρθοδοξαστικῶς. παρὰ δὲ τῶν διδάσκειν ἐπιχειρούντων τὴν ἐπιπολαιοτέραν ἑρμηνείαν τῆς, ὅσον πρὸς τὸ παραδειγματιζόμενον φέρει τοῦ παραδείγματος σχέσεως. καὶ τοῦτο μὲν οὕτως ἔχει. τὸν δὲ λογιώτατον Ψαλίδαν αὐτὸ ἴσως τοῦτο οὐδ' ἂν πείσαι τις πείσειε ποτὲ, καθ' ἣν ὑπόθεσιν φθάσας ὑπέθετο. ὑπέθετο γὰρ τις παρ' ἡμῖν τὴν

Λογι-



Λογικὴν τοῦ Εὐγενίου παραδιδόναι ἐπιχειρήσοντας τοῖς μαθητιῶσι, διδασκάλους εἶναι τοὺς πάντας σχεδὸν ἀμαθεῖς. » ὅλοι σχε-
» δὸν, φησὶν, οἱ διδάσκαλοι τοῦ γένους
» μας, εἶναι διδασκαλάκια. μεταφρά-
» ζοντα μίαν Γραμματικίτζαν (ὡς εἴ-
» περ ἐπιδεκτικὴ ἦν ἡ τέχνη ἡ Γραμ-
» ματικὴ μεταφράσεως!) διδάσκοντα τὸ
» πρῶτον, καὶ τὸ ἐκ τρίτου, καὶ τὸ ἐκ
» τετάρτου τοῦ Γαζῆ. ἢ συγγράφοντα
» τρεῖς τέσσαρας στίχους ποιητικούς.
» κομπάζοντα περὶ τὰ λεξίδια. ἐν οἰκι-
» δίοις καὶ ἐν γωνίαις λάθρα ὑποψιθυ-
» ρίζοντα.

Ὡς ὀξύτομον ἡμῖν ψαλίδιον, ὁ γεννάδας οὗτος Ψαλίδας! ὡς μέγας μεταξὺ τῶν διδασκαλακίων οὗτος σοβεῖ ὁ διδάσκαλος! ἆρα γέγονεν οὕτως ἀβέλτερος καὶ τολμηρὸς ἄνθρωπος, ὁ τοσαύτην καθ' ὅλου τοῦ γένους ἡμῶν καταχέων ὕβριν, καὶ τηλικαύτην ἀπαιδευσίαν καταμωκώμενος; Καίμην οὐ διαλείπουσι καὶ καθ' ἡμᾶς τῶν ἡμετέρων συχνοὶ, οὐ μόνον γραμματικοὶ ἀκριβέστατοι, ἀλλὰ καὶ φιλολόγοι ἀξιολογώτατοι, καὶ ἐπιστήμονες ἄριστοι, ὧν οὐδὲ τὸν ἱμάντα τῶν ποδῶν αὐτὸς λῦσαι ἄξιος ὁ κὺ ἐκεῖ



κυ-

κυρία μήτηρ αὐτῷ ἀειθμνῆται ἐν ζῶσιν. οὐδ' ἐκεῖνο εἰκότως ἡ Ἠπειρῶτις ἔχοι ἂν εἰπεῖν περὶ τοῦ φιλτάτου αὐτῆς τούτου γένους Ψαλίδα, ὅπερ ἔφη ποτὲ ἡ Λάκαινα Ἀργιλεωνίς, περὶ τοῦ υἱοῦ αὐτῆς τοῦ Βρασίδα. πῶς γὰρ τὸ κρέσσονας; μηδὲ τόπον εὑρισκούσης ὅλως τῆς παραθέσεως; καὶ οὐ φημι τῆς τοῦ Ψαλίδα παραθέσεως πρὸς τὸν Βρασίδαν. ἐπειδὴ πόθεν; ἀλλ' οὐδὲ τῆς τοῦ μεγάλου τούτου διδασκάλου, πρὸς οὓς αὐτὸς ἐξευτελίζει, ὑποκορίζων διδασκαλάκια.

Κἀκεῖνο γὰρ ἔτι πρὸς τοῖς ἄλλοις ὁ Ψαλίδας ἐπιμέμφεται περὶ τὸ λεκτικὸν εἶδος, ὅτι παραινοῦμεν τοὺς τὰ φιλοσοφίας ὄργια τελεσθῆναι ἐφιεμένους, ἱκανῶς ἥκειν προσοικειωθέντας τὴν γλῶτταν τὴν Ἑλληνικήν, καὶ τοῦ χυδαιολογεῖν ὡς οἷόν τε, ἐπὶ τῶν ἐπιστημονικῶν θεωρημάτων, ἀπέχεσθαι. ἀλλ' ἆρα δίκαιον ἐπὶ τῇ τοιᾷδε παραινέσει, μῶμον ἡμῖν προστρίβεσθαι; ταὐτὰ καὶ ἄλλοι περὶ τῶν ἰδίων διαλέκτων τοῖς νεωτέροις, τοῖς εἰς τὰ ἀνάκτορα τῆς φιλοσοφίας εἰσιέναι ἐφιεμένοις, εὐτόνως παρῃνέσαν. καί τις ἐφ' ἡμῶν Ἰταλὸς ἐπίσημος φιλόσοφος, ἐν τῇ συνταχθείσῃ ὑπ' αὐτοῦ Λατινιστὶ Λογικῇ παρήγγελε τοῖς εἰσαγο-

μέ-



μένοις πρὸ πάντων: Stylum para, ἑτοίμασον τὴν γραφίδα. (περὶ τῆς Λατινίδος γλώσσης λέγων) ὥστε δηλαδὴ μὴ μόνον τῆς φωνῆς ὀρθῶς ἐπαΐειν ἔχειν, ἀλλὰ καὶ συγγράφειν, δεήσαντι, δύνασθαι. πῶς οὖν τις εἰς κακὴν θήσει, ἐὰν καί τις Ἕλλην αὐτὸ τοῦτο παρὰ τῶν ὁμογενῶν αὐτοῦ ἀπαιτήσειεν; ἢ οὐχὶ τὴν Ἑλληνικὴν γλῶσσαν ἐπαινοῦσί τε καὶ ἐπισυνιστῶσι κοινῇ πάντες, καὶ αὐτοὶ ἔτι οἱ ἑτεροεθνεῖς καὶ ἀλλοτριόφωνοι; ἢ οὐχὶ εἰς πορισμὸν ἐπιστήμης, τὴν Ἑλληνικήν, ὁποίας δήποτε ἄλλης διαλέκτου, ἢ παλαιᾶς ἢ νεωτέρας κρείττονα καὶ δεξιωτέραν διαπρυσίως οἱ πάντες ἀνακηρύττουσιν; αὕτη, λέγουσι, τοσοῦτον ὑπερέχει τῶν ἄλλων, ὅσον ἀνὴρ εὐφυέστατος τοῦ ἀφυεστάτου. ὅσον ὁ πεπαιδευμένος τοῦ ἀπαιδεύτου. Ὁ ἐπὶ τῆς Λατινικῆς γλώσσης τὰ πρῶτα φέρων, τοσοῦτον προήχθη ὑπὲρ τῆς Ἑλληνικῆς γλώσσης στωμυλεύσασθαι. Jovem si loqui velit, non aliter loquuturum quam scripserit Plato. Ὁ Ζεύς, ἔφη, φθέγξασθαι βουληθείς, οὐκ ἂν ἄλλως ἐφθέγξατο, ἢ ὡς Πλάτων συνέγραψεν. Ἄλλος προσέθετο: ὅτι καὶ ἡ φύσις φθεγξομένη, ὥστε τὰ ἐν ἑαυτῇ ἑρμηνεῦσαι πλέμενα, οὐκ



ἂν

ἂν ἄλλῃ, ἣ μόνῃ τῇ Ἑλλάδι φωνῇ προσεχρήσατο. Ἐκθειάζουσι τὴν Ἑλληνικὴν οὕτω γλῶσσαν, οὐ μόνον διὰ τὴν ἐπανθοῦσαν αὐτῇ τῆς λέξεως ἁρμονίαν, καὶ χάριν. ᾗπερ ὁ Κουϊντιλιανὸς ὡμολόγει τὴν Ῥωμαίων φωνὴν ἀνεπίδεκτον. Videtur mihi Sermo ipse Romanus non recipere illam solis concessam Atticis venerem. ἀλλὰ καὶ διὰ τὴν περιοῦσαν αὐτῇ δύναμιν, ἐπὶ τῆς τῶν νοουμένων ἀκριβοῦς παραστάσεως. ὁ Κικέρων αὐτὸς ἔτι ἔγραφεν, ὅτι τὸ ὑπὸ Ἀρισίππου ῥηθὲν ἐκεῖνο περὶ τῆς Λαΐδος: τὸ ἔχω οὐκ ἔχομαι. οὐχ οὕτω Λατινιστὶ προσφυῶς ἔχει προενεχθέν: habeo, non habeor. διὸ καὶ Γέλλιος οὐκ ἀπέκρυψεν, ὅτι πολλάκις ἀποπειραθεὶς ἐκλατινίσαι τὰ διὰ μονολεξίας παρ᾽ Ἕλλησι λεγόμενα, μάτην ἐπόνησε. καὶ Λουκρήτιος ὁ Κάρρος παρεβιάζετο λέξεσι προσχρῆσθαι Ἑλληνικαῖς, χήτει Λατινικῶν ἰσοδυνάμων, αἷς ἂν ἀκριβέστερον τὴν οἱ προκειμένην ἐκφράσαιτο ἔννοιαν. Τῷ ὄντι γάρ, ὡς ἐπιμαρτυρεῖ ὁ θεῖος Ἱερώνυμος, ὁ τῶν γλωσσῶν εἰδημονέστατος, ἡ Λατινικὴ φωνὴ τῆς Ἑλλαδικῆς ἀκριβείας ἐφικέσθαι οὐ δύναται. proprietatem Græcem Lati-

nus



nus Sermo non exprimit. διὰ δὴ τοῦτο, καὶ τῶν παλαιῶν πολλοὶ σοφοὶ ἄνδρες ἐξ ἐθνῶν διαφόρων, τῇ πατρίῳ φωνῇ χαίρειν εἰπόντες, τὴν ὀθνείαν ἠσπάσαντο, καὶ Ἑλληνιστὶ προείλοντο συγγράψαι τὰ οἰκεῖα φιλοπονήματα: Αἰγύπτιοι, Σύροι, Θρᾷκες, Τυρρηνοί, Λατῖνοι, Γαλάται. κτ. κτ. οὓς οὐκ ἄν τις ῥᾳδίως καὶ καταλέξειε. Τίς δ᾽ ἀγνοεῖ, ὅτι καὶ καθ᾽ ἡμᾶς, συχνοὺς εἶναι σοφούς τε καὶ ἐλλογίμους ἄνδρας ἀνὰ πᾶσαν τὴν Εὐρώπην, Γερμανούς, Βρεττανούς, Ὁλλανδούς, Γάλλους, Ἰταλιώτας κτ. τοὺς ἐκθύμως γραικίζοντας; ὅτι ἐν πάσαις ταῖς Ἀκαδημίαις οὐ διαλείπουσιν οἱ περὶ τὴν Ἑλλάδα φωνὴν ἀσχολούμενοι, καὶ διδασκόμενοι ἐπιμελῶς αὐτὴν καὶ διδάσκοντες; ὅτι καὶ πολλοὶ ἐξ αὐτῶν καὶ συγγράφειν Ἑλληνιστὶ φιλοτιμοῦνται, καὶ γενναίως συγγράφουσιν; ἐμοὶ δὲ καὶ τὸ ἀνέκδοτον τοῦτο ἐκοινολογήθη παρά τινος, ὅτι καὶ οἱ ἐν Γεττίγγῃ Ἀκαδημαϊκοὶ (ὧν εἷς καὶ αὐτὸς ὑπῆρχε) βουλήν ποτε προὔθεντο ἐν ἀλλήλοις, εἴπως ἦν ἀντὶ τῆς Λατινίδος τὴν Ἑλληνικὴν διάλεκτον ἀντεισαγαγεῖν ἐπὶ τῶν ἐπιστημονικῶν παραδόσεων. διὰ τί τοῦτο; διότι οὐδεμία ἄλλη γλῶσσα, δύ-



ναται

νεται ὡς αὐτὴ προσφυῶς οὕτω καὶ ἠκριβωμένως ἐκφράζειν τὰ ἐν ἐπιστήμαις καὶ τέχναις παραδιδόμενα. Σοφώτατα τοῦτο συνεῖδε καὶ ἡ μεγάλη πασῶν τῶν Ῥωσσιῶν Αὐτοκράτωρ, ὅθεν καὶ ἐν αἷς συνέγραψε διατυπώσεσι περὶ τῆς ἀγωγῆς τῶν γαληνοτάτων Πριγκίπων Ἀλεξάνδρου καὶ Κωνσταντίνου τῶν αὐτῆς ἐκγόνων, ἔνθα περὶ τῆς τούτων ἐν διαφόροις διαλέκτοις ἐξασκήσεως διαλαμβάνει, τὴν Ἑλληνικὴν ὑπὲρ τὰς ἄλλας πάσας ἐξαιροῦσα ἐξαίρει. οὕτω καὶ γὰρ φησὶν (ἐν §. 125.) ἐπὶ λέξεως: „Ἡ
„γλῶσσα ἡ Ἑλληνική ἐστιν, ἡ τῶν ἄλ-
„λων ἁπασῶν τῇ ὠφελείᾳ μακρῷ ὑπε-
„ραίρουσα. αὕτη γάρ ἐστιν, ἡ τοῖς γα-
„ληνοτάτοις Πριγκίποις τῶν ἐπιστημῶν
„τὰ ἄδυτα ὑπανοίξουσα. πρὸς οὖν τὰς πη-
„γὰς ταύτας ὁδηγητέοι. εἶθ' ὅτι οἱ κατ'
„αὐτὴν συγγεγραφότες, ἐπὶ τὰς ἄλλας
„διαλέκτους μετενεχθέντες, τὸ τῆς φράσεως
„αἱμύλον ἀπέθεντο καὶ θρασήειον. (ὃ τῇ
„τῶν Ἰδιωμάτων ἐνδείᾳ καὶ λυπρότητι
„μᾶλλον, ἢ τῇ τῶν ἑρμηνευόντων ἀφυΐᾳ
„εἰκότως ἀποδοτέον.) εἶτ' οὖν ὅτι τῷ ἐπα-
„φροδίτῳ τῆς λέξεως, καὶ τῶν νοημάτων
„τῇ ἁρμονίᾳ μηδεμιᾶς μειονεκτοῦσα, πρὸ





„ἁπασῶν αὕτη τὰ πρεσβεῖα φέρει, καὶ
„τῇ περιουσίᾳ τῶν ὀνομάτων ῥᾷστα τῶν ἄλ-
„λων ἐστὶ προέχουσα. ἐκ γὰρ δὴ ταύτης
„καὶ οἱ τεχνικοὶ καλούμενοι τῶν ὅρων (ὧν
„ἀμέλει τὴν χρῆσιν ἐν ἐπιστήμαις καὶ τέχ-
„ναις ἐπιπολάζειν ἐκράτησεν) ἀεὶ δὴ αὐ-
„τὸ τὸ πρᾶγμα διευκρινοῦντες, καὶ εἰς τὰς
„ἄλλας ἁπάσας εἰσφρήσαντες εἰσερρύη-
„σαν„.

Ἀλλ' οὕτω μὲν ἅπαντες κοινῇ, καὶ μικροὶ καὶ μεγάλοι, καὶ παλαιοὶ καὶ νεώτεροι. ὅτι δὲ καὶ ἡμεῖς ἐν τῇ Λογικῇ τῆς Ἑλληνικῆς γλώσσης παρεδηλοῦμεν τὴν χρείαν, καὶ τὴν χρῆσιν αὐτῆς ἐν τῷ φιλοσοφεῖν μάλιστα παραινοῦμεν. διὰ τοῦτο, ὥσπερ ἄλλοτε ὁ Μοισιόδαξ, ὁμοίως ὀδάξ καὶ νῦν ὁ Ψαλίδας ἡμῶν ἐπελάβετο.

„Ἡ ἀλήθεια, λέγει, εἶναι κοινὴ
„πᾶσιν ἀνθρώποις, καὶ πάσαις ταῖς δια-
„λέκτοις ἁπλῶς. Ναίχι... ναὶ μὰ μήκωνος χλόην. τοῦτο καὶ αὐτοὶ συναινοῦμεν. ἀλλ' ἐπερωτῶμεν ἡμεῖς, εἴπερ ἀληθεύει καὶ τῆς προτάσεως τὸ ἀντίστροφον; πότερον ἄρα εἰσὶ καὶ πάντες ἄνθρωποι ἐπίσης, καὶ πᾶσαι αἱ διάλεκτοι ἰσοδυνάμως δεκτικοὶ πρὸς ἀλήθειαν; τοῦτο εὐλόγως ἐκπυνθα-

νόμεθα, ϗ αἰτοῦμεν ἀπόκρισιν· οὐ παρὰ τοῦ Ψαλίδα τὴν ἀπόκρισιν αἰτοῦμεν. τί γὰρ ἡμῖν κἀκείνῳ; ἢ τί ἐξ ἐκείνου προσδοκήσειέ τις ἐγκεκριμένον ἀκοῦσαι καὶ δίκαιον; ἀλλὰ παρὰ παντὸς φρένας ἔχοντος. ὁ δὲ Ψαλίδας αὐτὸς (ἐπεὶ οὕτω θέλει καὶ βούλεται) χυδαιολογῶν φιλοσοφείτω, ϗ φιλοσοφῶν χυδαιολογείτω. ἔτι ϗ Ἀλβανισί, εἴπερ αὐτῷ ϗ τοῦτο δόξει, ϗ παρ᾽ ἡμῖν ἐχέτω τὴν ἄδειαν.

Μεταβαίνει ὁ κριτικὸς Ψαλίδας νῦν ἐπ᾽ ἄλλα πραγματιωδέστερα. „Ἡ φιλοσοφικὴ „(λέγει) ἱστορία ἡ πρὸ τῆς τοῦ Εὐγενίου „Λογικῆς, εἶναι ξηρὰ ϗ ἰσχνή, διὸ ϗ „ἀνωφελὴς τοῖς μετερχομένοις αὐτήν, κτ —— Ἀλλ᾽ ἡμεῖς οὔτε φιλοσοφικὴν Ἱστορίαν πλήρη τινὰ ἀναγράψασθαι προεθέμεθα, οἵαν ὁ Βρούκερος ἐξέδωκε τὴν πολύτομον ἐκείνην, ϗ ἄλλοι· οὔτε Ἱστορίαν φιλοσοφικὴν ἐπεγράψαμεν τὴν προτεθεῖσαν ἡμῶν ἔκθεσιν· ἀλλ᾽ ὁ σκοπὸς ἦν ἰδέαν τινὰ τοῖς εἰς τὴν φιλοσοφίαν εἰσαγομένοις προσχεδιάσαι, ϗ ὑποδεῖξαι, ὅπως τὸ κατ᾽ ἀρχὰς οἱ ἄνθρωποι ἐπεχείρησαν φιλοσοφεῖν, ϗ ὅπως εἰς διαφόρους ἐτράπησαν ὑπολήψεις ϗ δοξασίας· ϗ τίνες αἱ ἐπισημότεραι τῶν πό-



ποτε φιλοσοφησάντων γεγόνασιν αἱρέσεις, παλαιῶν τε ϗ νεωτέρων, τῶν οὕτως ἄνωθεν ϗ ὡς ἡμᾶς περὶ πολλὰ διαφερομένων. Ἵνα δὲ προσεκτικωτέρους εἶναι παρασκευάσωμεν, ὡς εἰς ἔρευναν τοῦ ἀληθοῦς ἀποδυομένους, ἐντεῦθεν γοῦν προεπιγνόντας ὅσον τὸ πρᾶγμα δυσθήρατον. ἡ μὲν οὖν πρόθεσις ἐξ αὐτῆς τῆς ἐπιγραφῆς, οὐκ ἄδηλος τῷ ἀναγινώσκοντι ϗ συνιέντι. Ἀφήγησις προεισοδιώδης περὶ ἀρχῆς ϗ προόδου τῆς κατὰ τὴν Φιλοσοφίαν ἐνστάσεως. κτλ. (ἀφήγησις εἴρηται, ϗ δὴ προεισοδιώδης, οὐχ Ἱστορία.) ὁ δὲ Ψαλίδας οὐχ οὕτως, ἀλλὰ Φιλοσοφικὴν Ἱστορίαν ἡμῖν ἐπιγράφει τὸ σύνταγμα, ἵνα ϗ τοῦτο ἡμᾶς ἀπελέγξῃ, ὡς δῆθεν ἐπαγγειλαμένους μέν, μὴ πεπληρωκότας δ᾽ ὡς ἔδει ἅπερ ὑπέστημεν. Τί ἄν τις εἴποι περὶ τοῦ ἀνθρώπου τούτου; πότερον αὐτοῦ ὑπουλότητα, ἢ ἀφυΐαν τε ϗ ἀπαιδευσίαν περὶ τὰς ἐπιγραφὰς καταμέμψαιτο; Αὐτὸς γάρ, τὸ μὲν ἑαυτοῦ βιβλιδάριον, ὡς κατ᾽ ἀρχὰς δέδεικται, ὅπως ἂν προσφυῶς ἐπιγράψειεν, οὐκ ᾔδει. τὸ δὲ ἡμέτερον προεισοδιῶδες γράμμα, ὅπως ἐπεγράφη, οὐ κατενόησε.

Χωρῶν ἐνδοτέρω, τῶν διατριβῶν τῆς Προ-

Πρώτης ἐπιλαμβάνεται, ἀδολεσχίαν αὐτῆς καταψηφιζόμενος. τουτέστι διεξοδικὴν κρίνων, καὶ εἰς μακρολογίαν περιττὴν ἐπεκτεινομένην. ἐχρῆν γὰρ, ὡς ἔοικε, τὴν μὲν προεισοδιώδη ἀφήγησιν, ἀμέσως ἀνωτέρω, αὐχμηρὰν τινὰ δόξαι καὶ κατίσχνον, τὴν δὲ μετ' ἐκείνην προδιατριβὴν ταύτην, τοὐναντίον πιαίνειν ἀμέτρως, καὶ οἷον φαίνεσθαι πληθωρικήν, ἵν' ἑκατέρωθεν αὐτῷ παρείη ἐφ' ἡμῶν ἐπισωρεῦσαι τὸν μῶμον; ἔνθεν μὲν δηλονότι, τὸν ἐκ τοῦ πλεονασμοῦ, ἔνθεν δὲ τὸν ἐκ τῆς ἐλλείψεως.

Ἀλλ' ἔδει γὰρ αὐτὸν καὶ τὸ ἐν τέλει τῆς περὶ ἧς ὁ λόγος διατριβῆς ἀναγνόντα, οὐκ εὔκαιρον τὴν μέμψιν μετὰ τὴν προστεθεῖσαν ἀπολογίαν ἡγήσασθαι. μάθοι γὰρ ἂν ἐκεῖθεν, ὡς εἰ καὶ πρὸς τὴν πρόθεσιν δόξειεν ἴσως πλατύτερον παρατεθεῖναι τὰ εἰρημένα. ἄλλως γε μὴν καὶ ἐπιτομώτερον εἴποι τις ἂν αὐτὰ διειλῆφθαι, ὥστε πρὸς τὸ δαψιλὲς τῆς ὑποθέσεως, καὶ πρὸς τὴν χρείαν, διὰ τὰς ἀτόπους προλήψεις, ἃς οὐκ ὀλίγοι τῶν ἡμετέρων, περὶ τοῦ ὅπως τε, καὶ περὶ ἃ φιλοσοφεῖν δέον, καὶ ἃ μὴ δέον, παρυποθάλπουσιν. Αὐτὸς δ' οὖν τῆς δικαίας παραιτήσεως τὸ εὔλογον ἀλογήσας,

ἵνα



ἱταμὸς ἐκαθέσθη δικαστής, καὶ ἐνεκαυχήσατο νεανιευσάμενος. ὅτι ἐν παραγράφοις δυσίν, ἔχοι ἂν ἱκανῶς καὶ πεπληρωμένως τὰ τῆς πρώτης ἅπαντα διατριβῆς ἑρμηνεῦσαι. ἦπου δ' ἂν οὕτως ὁ γενναῖος πλέον, ἢ κατὰ τὸν σοφιστὴν Σεκοῦνδον, τὴν στάσιν ἡμῖν στενολεσχήσας ἐβραχυλόγησε. Κροτήσωμεν ἐπ' αὐτῷ θαυμάσαντες ἐνταῦθα τὸ κράτος τῆς ἐν τῷ λέγειν δυνάμεως, καὶ πρὶν ἢ πράγματι αὐτὴν ἐπιδείξαιτο. χρυσοῦς Ὀλυμπιᾶσι σταθήτω. καὶ τῆς ἐν Ἄργει ἀσπίδος ὁ ἀνὴρ ἄξιος.

Πρόεισιν οὖν, καὶ ὡς ἐκ τρίποδος θεσπιῳδῶν ἀποφθέγγεται ὁ Ψαλίδας. αἱ λοιπαὶ διατριβαὶ (φησὶ) δὲν ἔπρεπε νὰ προταχθῶσι τῆς Λογικῆς. πῶς; ἡ τῶν νοσοποιῶν τῇ διανοητικῇ δυνάμει παθῶν διάγνωσις, καὶ ἡ τῶν διαφόρων αἰτίων ἔκθεσις, ὑφ' ὧν κωλύεται, ἐπισκοτεῖται, ἀπαμβλύνεται, παραφέρεται, διαστρεβοῦται, εἰς μυρίας ἐκπίπτει ἀτόπους τε προλήψεις, καὶ ἀπατηλὰς κρίσεις ἐν ταῖς κατὰ θεωρίαν μελέταις, τὸ γνωστικὸν τῆς ψυχῆς. ἡ τῶν τοιούτων εἶπα, προδιάγνωσις καὶ προέκθεσις ἀλλοτρία τυγχάνει τῆς περὶ τὴν Λογικήν, ἕξιν πραγματείας ὑποθέσεις;

σίς; τίς αὖ τοῦτο εἶναι ποτέ; ὁ Ψαλίδας. ἡμεῖς δὲ ὑπολαμβάνομεν, ὅτι αἱ προδιατριβαὶ αὗται, εἰσὶ τὸ μέρος τῆς Λογικῆς ἕξεως τὸ πρώτιστον, καὶ κυριώτατον, καὶ ἀναγκαιότατον. ὁρῶμεν δὲ καὶ τοὺς ἐπισημοτάτους ἐν φιλοσόφοις τῶν τοιῶνδε παραγγελμάτων πρόνοιαν ποιησαμένους. ὅθεν καὶ θεραπευτικὴν τοῦ διανοητικοῦ τέχνην τὴν Λογικὴν ἐκάλεσαν, καὶ Ταμεῖον ψυχῆς κατὰ τοῦτο. Ταξικῆς δὲ ἔργον τὴν αἰτίαν τοῦ συμπτώματος προεπιγνῶναι, ἵνα τὴν ὑγείαν ἀνακαλέσηται. καὶ κατὰ τὴν Ἰδέαν δὴ ταύτην καὶ ὁ Ἄγγλος Βάκων συνηρμολόγει τὸ καινὸν ὄργανον. καὶ ὁ Ἀρνάλδος τὴν περὶ τοῦ νοεῖν συνέταττε τέχνην. καὶ ὁ Ἰταλὸς Γενουήνσιος τὴν Κανονικὴν Λογικὴν ἐμεθοδεύετο. καὶ ὁ Ὁλλανδὸς δὲ Σγραβεζάνδιος, τοῦ Β! βιβλίου τῆς αὐτοῦ Λογικῆς τὸ μέρος τὸ Β! περὶ τῶν ποιητικῶν τῆς Ἀπάτης ἐπιγράψας, ἐν Κεφ. ΚΑ! τοιάδε φησὶν ἐπὶ λέξεως. §. 732. „Ἀναγ-
„καῖόν ἐστι, περὶ αἰτίων ἀπάτης ἔστιν
„ἅττα προτάξαι, πρὶν ἢ τὴν Μέθοδον
„ἀναπτύξαι ἐπιχειρῆσαι, ἢ τὸ Διανοητι-
„κὸν διευθύνηται, πρὸς θήραν τοῦ ἀληθοῦς
„διεξαγόμενον. συντελοῦσι γάρ, τῷ πορεί-

„αν



„αν τινὰ ἀναβαλλομένῳ, τὰ ἀπαντήσοιτε
„χαλεπὰ προαποφῆναι, ἃ αὖ ἐκκλίνοι.
εἶθ᾽ οὕτω προβάς, τὸ λοιπὸν τοῦ Β! βιβλίου τῆς Λογικῆς, ὁλοσχερῶς Β! μέρος εἰς τοῦτο ἐπιδαπανᾷ. μεθ᾽ ὅ, ἐπὶ τὸ Γ! μεταβαίνει τὸ περὶ τῆς Μεθόδου. διὰ Κεφ. Η! §. 117. τουτέστιν ἀπὸ 732 — 845. καὶ οἱ μὲν οὕτω.

„Ὁ δὲ Ψαλίδας ἔτι ἐνίσταται: Αἱ
„προδιατριβαὶ (φησὶν) εἶναι μᾶλλον
„Μεταφυσικαί, ἢ Λογικαί. καὶ ἔπρε-
„πεν ἐν τῇ Ψυχολογίᾳ τῆς Μεταφυ-
„σικῆς νὰ σαφηνισθοῦν. ἀλλ᾽ ὁποίατις
ἄρα τῶν ψυχολογικῶν θεωριῶν εἰς βάθος ἐνταῦθα διείληπται; οὐδεμία. οὐδ᾽ αὐτὸς λέγει, οὐδ᾽ ἔχει εἰπεῖν. οὐδὲ γὰρ ἀπῄτει τῆς πραγματείας ἡ πρόθεσις. πλήν, ἤ τινὰς διαστολάς τε καὶ διορίσεις προοικονομῆσαι, καί τινας ἐννοίας κοινοτέρας εἰσαγωγικωτέρως προκαταβαλέσθαι, οὐχὶ μετὰ ἀκριβείας ἐπιστημονικῆς ἐξεταζομένας, ἀλλὰ προοδικῶς ἀναφερομένας, ὡς πρὸ ὁδοῦ ἀπαντώσας καὶ ὑποτιθεμένας ὀρθοδοξαστικῶς, καὶ κατὰ εἴδησίν τινα ἁπλουστέραν τε καὶ ἐπιπολαιοτέραν, ἣν καλεῖν εἰώθασιν Ἱστορικήν, τῆς πλειστοτέρας τε, καὶ βαθυτέρας

αὐ-

αὐτῶν θεωρίας, ἐν οἰκείῳ τόπῳ ἀποταμιευομένης. ὃ τοῖς συγγραφεῦσι τὰ πολλὰ ποιεῖν φίλον καὶ σύνηθες.

Ἀλλ᾽ ἡ ὑποτεθεῖσα τριττὴ τῶν ἐννοιῶν πηγὴ διετάραξε τὸν ἄνθρωπον καὶ κατέσεισέν πως αὐτοῦ τὸν ἐγκέφαλον. „ἡ πρώτη „(φησὶ) καὶ ἡ δευτέρα πηγὴ τῶν ἰδεῶν „ὁποῦ ὑποθέτει ὁ Εὐγένιος εἰς τὴν „Λογικήν του, δὲν ἠμποροῦν μὲ κανέναν „τρόπον νὰ σταθοῦν. Ἀλλ᾽ ὡς μὲν οὐκ εἰκῇ, οὐδ᾽ ἄνευ λόγου, καὶ ῥᾷον φάναι, προΐκατε καὶ πάντῃ ἀποκληρωτικῶς, ἐπὶ τοῦ πρώτου τῆς Λογικῆς κεφαλαίου, τὰ διαφέροντα εἴδη τῶν ἐννοιῶν, τῶν ταῖς ἀνθρώπων ψυχαῖς ἐγειρομένων, κατείλεκται. ὅσον ἡ προκειμένη πραγματεία ἐνεδίδου πρὸς ἄκαιρον προδιαίτησιν τῶν κατὰ πόδας εἰρησομένων. ἄλις ἐν ἐκείνοις οἶμαι, τῷ μετὰ νοῦ καὶ προσοχῆς μετιόντι διασεσάφηται. ὑποτίθεται γὰρ ἐκεῖ τὴν μὲν ψυχὴν οὐσίαν ὑπάρχειν ἀμιγῆ ὕλης καὶ νοεράν. ταύτης δὲ, δύναμιν μὲν εἶναι τὸν νοῦν, ἐνέργειαν δὲ νοῦ τὴν νόησιν. §. α΄) τῇ τοιᾷδε δυνάμει προσήκουσαν. μηδὲ γὰρ δύναμιν ἁπλῶς παθητικὴν τὸν νοῦν πεφυκέναι (καίτοιγε καὶ παθητικῶς ὑπὸ τῶν ἐκτὸς αἰτίων διατίθεσ-

θαι



θαι οἷόν τε ἐστὶ, καί πως ἐξαλλοιοῦσθαι.) πλάττειν δ᾽ ἅμα καὶ καθ᾽ ἑαυτὸν ἐνεργὸν καὶ δραστήριον. §. ι.) τὴν δὲ ψυχὴν, ὅπως ποτ᾽ οὖν καὶ νοοῦσαν, ἐν ᾧ νοεῖ, ἀλλοίωσίν τινα ὑφισταμένην διατελεῖν. τοιῶνδε δήπου, οἵαπερ οὖν, κτιστὴ φύσις καὶ πεπερασμένη, ἀσώματος δ᾽ ἔμπης καὶ νοερὰ, ἐπιδέξαιτο. μετάβασίν τινα, δηλονότι, ἢ μεταβολὴν καὶ ῥοπὴν ἀπὸ καταστάσεως εἰς ἑτέραν κατάστασιν. §. ια.) τὴν δὲ ῥοπὴν ἐξ ἐνδοτάτης ἐπιγνώσεως, ἡμῖν αὐτοῖς συνειδόσι καθίστασθαι δήλην, κἂν τὸ ὅπως συμβαίνει καὶ τελεῖται, περιμένῃ ἀνέφικτον. §. ιβ΄) τὰς τοίνυν τοιάσδε ἐκ μεταβολῆς καταστάσεις, ἄλλοτε ἄλλας, ἀπεριινοήτως μὲν κατὰ τὸ πῶς, οὐκ ἀνεπινοήτως δὲ, οὐδ᾽ ἀσυνειδήτως κατὰ τὸ ὅτι, τῇ ψυχῇ ἐπισυμβαινούσας, ἀντιληπτὰς ἡμῖν γίνεσθαι καὶ αὐτὰς, δι᾽ ἑτέρων ἐπαντιλήψεων. καὶ νοήσεις ὡς εἰπεῖν νοουμένας καθίστασθαι, ὅτε δὴ καὶ αὐτὰς νοητὰς γινομένας §. ιγ΄. ιδ΄.). ἐντεῦθέν τοι καὶ μυριαχῶς τὴν ψυχὴν ἐννοεῖν δύνασθαι. ἢ καὶ μυριαχῶς ἀλλοιοῦσθαι. §. ιε΄.) ἐξ οὗ εἰσβάλλειν ἔπεισι. καὶ τὰ περιπίπτοντα ἀντιφάσει, μηδὲ μὴ μηδαμῶς συννοεῖσθαι ἔχειν· τῷ μὴ τὸν νοῦν ἰσ-

χύ,

χύειν παρεδραττόμενον αὐτῶν συνάμα κρατεῖν, μηδ᾽ ἐπὶ τούτοις κατασκευάζεσθαι, ὥστε τὸ ἀντικαιρετικὰ γίνεσθαι τηνικαῦτα ἀλλήλων τὰ εἴδη τῶν τῆς ψυχῆς καταστάσεων. §. ις΄.) ἄλλοτε δ᾽ αὖ τῇ τῶν ἀλλοιώσεων τῶν μὴ ἀνταναιρουμένων, εἰς ταυτὸ συμπτώσει, ἑτεροῖα παρίστασθαι τὰ εἴδη, καὶ κατὰ τὸ μᾶλλον καὶ ἧττον ἀνάμικτα, κατὰ τὸν τῆς διαγωνίου, φέρε, τύπον, ἐπὶ τῶν σωματικῶν συνθέτων κινήσεων. §. ιζ΄.)

Τοιγαροῦν ἐκ τῶν ῥηθέντων εὔλογόν ἐστι κρίνειν, ὅτι παρακτικόν ἐστιν ἰδέας τινὸς ἐν τῇ ψυχῇ, πᾶν τὸ μεταβολήν τινα τῷ αἰσθητικῷ δυνάμενον ὁπωσοῦν ἐνεργάσασθαι. §. ιη΄.) ἐπειδὴ δὲ ξένα τινὰ παρίσταται αἴτια, τὰ (καίτοι ἄλλως καὶ ἄλλως) τῆς τοιᾶσδε πρὸς τὴν ψυχὴν εὐμοιροῦντα δυνάμεως, εἰκότως ἐντεῦθεν συνάγεται, καὶ ἡ ξιττὴ τῶν ἐννοιῶν ἀρχὴ, ἤτοι πηγή. §. ιθ΄. ἥτε πρώτη, ὅς ἡμῖν ἐστιν ὁ δημιουργός. §. κ΄.) καὶ ἡ δευτέρα, ὥπερ ἐστὶν αὐτὴ ἡ ψυχή. §. κα. κβ. κγ. κδ. κε.) καὶ ἡ ξένη, ἡ τῇ μὲν τιμιότητι ἐσχάτη, τῇ δὲ χρήσει κοινοτέρα ἀνθρώποις τὸν ζωτικὸν βίον ἕλκουσιν. §. κς. κζ.) τὰ περὶ

ἡμᾶς.



ἡμᾶς, δηλονότι, σώματα, τὰ διὰ τῶν αἰσθητηρίων ἡμῖν προσβάλλοντα, καὶ ποιάν τινα τῇ ψυχῇ ἀλλοίωσιν ἐμποιοῦντα. ταῦτα μὲν ἡμεῖς περὶ τῆς ξιττῆς τῶν Ἰδεῶν, ἢ νοημάτων ἀρχῆς ἐν τῇ Λογικῇ ὑπεθέμεθα. Ὁ δὲ Ψαλίδας τὴν ἐσχάτην μόνην ἀρχὴν τῶν ἰδεῶν παραδεχόμενος, τὰς δύο προτέρας, ἃς πρὸς ἐκφυγὴν συγχύσεως καὶ ὑπολήψεων ἀτοπωτέρων προδιεστειλάμεθα, ὡς περιττὰς αὐτῷ δοκούσας, μᾶλλον δὲ καὶ ὡς ἀδυνάτως ἐχούσας, καὶ ἀλόγως εἰσαγομένας ἐκβλιτυρίζει, καὶ κωμικῶς καταμωκώμενος ἡμῶν, αὐτὰς διασύρει τε, καὶ ἐπιχλευάζει. „Ἡ πρώτη, φάσκων, καὶ ἡ „δευτέρα πηγὴ τῶν Ἰδεῶν, κατὰ τὸν Εὐ„γένιον, εἰς τῆς Λογικῆς αὐτοῦ τὴν Ἀτ„μοσφαίραν, τόπον δὲν ἔχουσιν. ὡσὰν „ὁποῦ εἶναι πολλὰ λεπταὶ καὶ ἐλαφραὶ, „καὶ ἡ Ἀτμοσφαίρα πολλὰ χονδρὴ καὶ „βαρεῖα, καὶ ἀκολούθως ἡ διαφορὰ τοῦ „βάρους κάμνει ὁποῦ τὸ ἐλαφρότερον νὰ „ὑψοῦται καὶ ὑψηλότερον. διὸ αἱ δύο αὐ„ταὶ πηγαὶ πρέπει νὰ ἀπετάξουν διὰ „τὴν ἐλαφρότητά των ἔξω τῆς ἀτμοσφαί„ρας τῆς Λογικῆς ὡς ἐναέριοι μηχαναί. Εὖγε, κατὰ τὴν περιοῦσαν αὐτοῦ πολυμά-



θει-

Θειαν ὁ Ψελλίδας τὴν Λογικὴν ἀτμοσφαί-
ρας, ἐπιδεικτικὰν κατὰ τὸ θεῖον ἐθέλει,
ὡς οὐκ ἀΐδιος ἐστὶν, οὐδ' ἀνήκοος, τῶν ἀερο-
στατικῶν μετεωρισμάτων, ὧν καθ' ἡμᾶς
οἱ Γάλλοι ἐπιστήμονες διεθρυλλήθησαν.
ἴσω καὶ τὸ ἀγχίνουν τῆς μεταφορᾶς, ἢ
ἀλληγορίας, ἡμεῖς, οἱ θυμῆρες αὐτῷ,
μηνεγιζόμεν. Ἀλλὰ τίνα ποτ' αὖ καὶ
λόγον ἀποδώη πρὸς ἀνάσχεσιν τῆς ἡμε-
τέρας ἐκείνης τῶν ἐννοιῶν διαστολῆς, ὥσπερ
ἂν εἴη καὶ ἀποδοχῆς ἄξιος; ἢ τί γὰρ ἂν
ὁ Ψελλίδας καὶ φαίη; μὴ δύνασθαι ὅλως
τὸν δημιουργὸν ἀλλοιοῦν, τουτέστιν ἐν ἄλλῃ
καὶ ἄλλῃ μετασκευάζειν καὶ διατιθέναι
καταστάσει τὸν ἐν ἀνθρώποις νοῦν, ὡς ἂν
ἐθελήσειεν; ἀλλ' εἰπόντα τοῦτο, τοῦ Ὁμή-
ρου τυφλότερον ἔτι καὶ τὰ ἐκτὸς ἡγησό-
μεθα.

„ Τοῖος γὰρ νόος ἐστὶν ἐπιχθονίων
ἀνθρώπων
„ Οἷον ἐπ' ἦμαρ ἄγῃσι πατὴρ ἀνδρῶν
τε θεῶν τε.

τί δαί; δύνασθαι μὲν, μόνον δὲ διὰ
τῆς τῶν αἰσθητῶν μεσιτεύσεως; κἀπὶ μὲν
τῆς φύσεως τῆς σωματικῆς τὴν πρώτην
αἰτίαν τῶν αἰτιῶν καὶ οὖσαν καὶ ὑμνουμέ-
νην



οὖν ἐνεργεῖν δύνασθαι καὶ ἀμέσως; ἐπὶ
δὲ τῆς οὐσίας τῆς νοερᾶς, οὔ; ἀλλ' ἡμεῖς
αὐτὸν οὕτω φρονοῦντα περὶ τοῦ Θεοῦ ἀναξίως,
μᾶλλον δ' εἰπεῖν ἀσεβῶς, καὶ διαπτυσό-
μεθα. τὴν δὲ ψυχὴν πάλιν, πῶς αὐτὴν
οὗτος ἡμῖν; ἀεὶ καὶ ἐν πᾶσιν ἑτεροκίνητον
θήσει, ὥσπερ τὰ σώματα; ἰωχελῆ δὲ
πάντῃ καθ' ἑαυτὴν καὶ ἀδρανῆ κεῖσθαι
ἡγήσεται, ὡς οὐκ ἐυμοιροῦσαν τὸ παράπαν
δυνάμεως; καὶ τὸ μὲν σῶμα δύνασθαί πως
τὴν ψυχὴν κινεῖν διὰ τὸν συνδήσαντα νό-
μον, αὐτό τε τὸ συνδεθὲν, καὶ παρ' αὐτὸ
διὰ τοῦτο καὶ τ' ἄλλα. τὴν δὲ, οὐχὶ ἀμοι-
βαδὸν τὸ σῶμα, τό, τε συνημμένον αὐτῇ,
καὶ δι' αὐτοῦ, καὶ τὸν παρ' αὐτὸ πλεῖστα,
διὰ γοῦν τῶν προαιρετικῶν καλουμένων κι-
νήσεων; ἢ προαιρετικὰς δὲ κινήσεις δώσο-
μεν τῇ ψυχῇ, αἷς αὖ κατὰ τὸ δοκοῦν τὸ
σῶμα κινοῦσα ἄγοι καὶ φέροι, προαιρετικὰς
δὲ νοήσεις, καὶ ἐπινεύσεις, καὶ ἀπονεύ-
σεις, αἷς αὖ ἑαυτὴν ἐλευθέρως ἐπικλίνοι
πρὸς τὸ παριστάμενον μηδαμῇ μηδαμῶς;
ὡς μηδὲ ἔχειν ποτὲ διὰ ταύτας γίνεσθαι
ὑπεύθυνος; ἢ ῥοπὴν μὲν ἐκ προαιρέσεως
ἡ ψυχὴ ἕξει, νόησιν δὲ οὐδεμίαν αὐθαί-
ρετον; ἢ τελευταῖον, τὸν ἐν ἡμῖν νοῦν ἀτε-



πι-

πίστροφον πρὸς ἑαυτὸν τρέξομεν κατὰ τὴν ὕλην ὡς σωματικὸν αὐτόχρημα ὄντα, καὶ ὅλως ἄϋλον; ἀλλ' οὐχ οὕτω τὸν Ψαλίδαν φιλοσοφοῦντα μπεγεντοῦμεν, ὅ, τι κἂν εἴποι, κἂν ἣν ἡμῖν σφοδρῶς ἐπισείῃ τὸν περίφημον αὐτοῦ καθηγήτορα Κάντιον. ὃν μᾶλλον καὶ συμφρονήσειν ἡμῖν πεποίθαμεν, εἰ μόνον τὰ ἐν τῇ Λογικῇ εἰρημένα πάντα, διελθών τε καὶ μετὰ προσοχῆς ἐπιστήσας, οὕτως ἐκλάβοι, ὃν τρόπον ἡμῖν εἴρηται, καὶ οὐχ ὥσπερ ἑτεροίως ἴσως καὶ κακῶς ὁ Ψαλίδας αὐτὰ ἑρμηνεύσας, τοῦ ἡμετέρου αὐτὸν φρονήματος ἀπεβουκόλησε, καὶ καθ' ἡμῶν ἀντιπαρεξήγαγεν. οὐ γὰρ ἄλλως ἐγὼ ῥᾳδίως πεισθήσομαι Κάντιον σοφὸν ἄνδρα, οὕτω φιλοσοφεῖν χρῆσθαι, καὶ τοιαῦτα ἐρισχελεῖν ἀξιοῦν, οἷα δὴ ὁ Ψαλίδας ὡς ἐξ ἐκείνου, ἐν ταῖς ἐφεξῆς αὐτοῦ συλλογιστικαῖς ἐφόδοις λυρῶν παρατίθησι. φησὶ γὰρ αὐτός, ὅτι ὁ ἀνὴρ (ἐκεῖνος) Φωνεῖ κατὰ τὸν ἀκόλουθον τρόπον..... ἐπεὶ οὖν ὁ Κάντιος διὰ τοῦ λιγυφθόγγου διάκτορος αὐτοῦ Ψαλίδα οὕτω φωνεῖ. „ σιγᾶτ' Ἀχαιοί, σίγα πᾶς ἔσω λαός. πρόσχωμεν δή: καὶ ἀκουσώμεθα τί καὶ Φωνεῖ.

Ὅτι ἡ Ἀποκάλυψις αἰτία τῶν ἰδεῶν

μας,



μας, καὶ ἀκολούθως πηγὴ νὰ λέγηται δὲν ἠμπορεῖ, ἀποδεικνύεται τὸν ἀκόλουθον τρόπον. τοῦτο μὲν δεῖξαι πρόκειται. ἀλλὰ μετ' ὀλίγον ἐπιλησθεὶς ὁ Ψαλίδας τοῦ προτεθέντος, ὅτι οὐκ ἄλλο δείκνυσιν, ἢ τοῦτο, ὡς ἔσται κατάδηλον. πῶς γὰρ εἰσόμεθα ὅτι ἐν τοῖς ἓξ συλλογισμοῖς, οὓς καθεξῆς ὁ διαλεκτικὸς προτείνει, οὐδὲν τοιοῦτον συνάγεται.

„ Α:ον φησίν. ἡ ἀποκάλυψις εἶναι
„ φανέρωσις εἰς ἕναν τινὰ μερικῶν ἀλη-
„ θειῶν διὰ τοῦ λόγου εὑρεθῆναι καὶ παρα-
„ σταθῆναι μὴ δυναμένων.

„ Ἀλλὰ μὴν ἡ φιλοσοφία καὶ ἑπομέ-
„ νως ἡ Λογική, δὲν καταγίνεται εἰς τὸ
„ νὰ δώσῃ νόμους, ἢ τρόπους ἄλλους τοῦ σχη-
„ ματίζειν ἰδέας, παρὰ ἐνασχολεῖται νὰ
„ ἀναπτύξῃ τοὺς φυσικοὺς κανόνας τοῦ νοεῖν,
„ δηλ: ἡ ὁ ἄνθρωπος φύσει νοεῖ. Ἄρα...

Ἐν τῇ μείζονι τῇδε τοῦ συλλογισμοῦ προτάσει ὑπόκειται μὲν ἡ Ἀποκάλυψις ὡς ὁριστόν. κατηγορεῖται δὲ ὁ ὁρισμός. Ἀποκάλυψίς ἐστι Φανέρωσις. ἐρωτῶμεν οὖν. δίδοταί τις Ἀποκάλυψις, ὅπερ ἦν τὸ ὁριστόν, δίδοταί τις τοιαύτη Φανέρωσις τοιούτων ἀληθειῶν. κτ: ὅστις ἦν ὁ ὁρισ-



μός;

μός; ἢ οὐ δίδοται; εἰ μὲν γὰρ ἐκεῖνο· τίς ὁ ἀποκαλύπτων, καὶ τὰς περὶ ὧν ὁ λόγος ἀληθείας ἐμφανίζων; πάντως οὐδεὶς εἰ μὴ εἷς ὁ Θεός· οὐ γὰρ δήπου (ὡς καὶ αὐτὸς συμφάσκει) ὁ κατὰ φύσιν λόγος· ἰδοὺ τοίνυν ἡ πρώτη τῶν ἰδεῶν ἀρχή, καὶ παρ' αὐτῷ ὑποτιθεμένη. καὶ ἔχομεν ἄρα ὃ θέλομεν. εἰ δ' οὐδεμία δίδοται τοιαύτη Ἀποκάλυψις καὶ Φανέρωσις· οἴχεται ἄρα ἡμῖν ἡ πίστις. τὸ ἀτοπώτατον. περὶ ὃ ἀδιαφορείσει μὲν ἴσως τὶς ἄλλος. ὁ δὲ εὐσεβῶν, οὐδὲ ἀκοῦσαι τὸ τοιοῦτον ἀνέξεται, ἀλλ' ἐμφράξας τὰ ἀμφότερα ὦτα ἀποστραφήσεται.

Ἐν τῇ Ἐλάσσονι πάλιν τοῦ συλλογισμοῦ, οὐκ ὀρθῶς λέγεται, ὅτι τῆς Λογικῆς ἔργον τὸ νόμους ὑπαγορεύειν καὶ τρόπους, τοῦ σχηματίζειν (ὅ φησιν) ἰδέας ἐν οἷς μόνον κατὰ Φύσιν ὁ ἄνθρωπος νοεῖ. ἀλλὰ τὰς μεθόδους ὑποτίθησιν ἡ Λογική, καθ' ἃς χρῆσθαι δεῖ ταῖς ἰδέαις, (ὅθεν εὖ καὶ ἤκουσεν.) ὀρθῶς καὶ κανονικῶς, πρὸς ἐκφυγὴν μὲν τοῦ ψεύδους καὶ τῆς ἀπάτης, ἐπιτυχίαν δὲ τοῦ ἀληθοῦς, ἐπὶ παντοίων ὑποθέσεων φυσικῶν, μεταφυσικῶν, μαθηματικῶν, ἠθικῶν κτ: διὸ καὶ ἐπὶ τὸ Διαβατικὸν τῆς φιλοσοφίας μέρος ἡ Λο-





γικὴ ἕξις εἰκότως ἀνάγεται, ὡς ἐλέγομεν. (Προδιατρ. ω'. §. ε'.) καὶ οὐ μόνον ἄρα ἐν ταῖς διὰ τοῦ κατὰ φύσιν λόγου πραγματευομέναις θεωρίαις, ἀλλὰ κἀν ταῖς εἰς ἀρχὰς ἀναγομέναις ὑπερφυεστέρας τὴν ἐξ αὐτῆς χρῆσιν παρέχεται, οὐκ ἀσυντελῆ κομιδῇ οὐδ' ἀνόνητον. ὅθεν καὶ οἱ θεηγόροι τῆς ἐκκλησίας διδάσκαλοι ἐν δέοντι αὐτῇ προσεχρήσαντο, ὁσάκις κατὰ τῶν ἐξ ἐθνῶν, ἢ τῶν ἐξ αἱρέσεως μὴ καθαρῶς χριστιανιζόντων, λέγοντες, ἢ συγγράφοντες, τὸ πολεμικὸν λεγόμενον εἶδος τῆς θεολογίας μετῆλθον. ὑπουργεῖ γὰρ ὀργανικῶς ἡ Διαλεκτική, ὥσπερ ταῖς λοιπαῖς θεωρητικαῖς ἕξεσιν ἁπαξαπάσαις, (αὐτ. §. ς'.) οὕτω καὶ αὐτῇ οὐχ ἥκιστα τῇ θεολογίᾳ. καὶ γάρτοι καὶ ἐν ταύτῃ, τῶν ἐκ τῆς Ἀποκαλύψεως ἀρχῶν ὡς ὑπερφυῶν τε καὶ ἀπορρήτων, πίστει μόνῃ ἀναντιρρήτως καὶ ἀδιαζητήτως βεβαίων ὑποτιθεμένων, περὶ τὰ ἐξ ἐκείνων εὐλόγως ἐπιφερόμενα, ἡ Διαλεκτικὴ πῶς ὑποδιακονεῖ τῇ Δεσποίνῃ, διδάσκουσά τε καὶ ὁροθετοῦσα τίνα τῶν νοουμένων ἀλλήλοις συνᾴδει, καὶ τίνα οὔ; τίνα ἐκ τῶν τεθέντων ἕπεται, καὶ τίνα οὐχί; τίνα τε, καὶ πῶς ἀντιφέρεται, καὶ ὑπεναντιοῦται ἀλλήλοις. τί-

να, καὶ πῶς συνάγεται, ἢ συναναιρεῖται ἀπ' ἀλλήλων. τίνα, καὶ ὅπως διαστέλλεται, ἢ διαιρεῖται. τίνα, καὶ πῶς ἀντιστρέφει, ἢ ἰσοδυναμεῖ. τίνα τε καὶ ὅσα διανοήσεων εἴδη καὶ τρόποι καὶ σχήματα. καὶ τίνα τὰ εὐσυλλόγιστα, ἢ ἀσυλλόγιστα, ἢ παραλογισμοί, ἢ σοφίσματα. καὶ ἐνίων δὲ μεθόδους, τὰς μὲν συνθέσεως, τὰς δ' ἀναλύσεως. καὶ σκέψεως ὅρους. καὶ ἀμφισβητήσεως μέτρα, καὶ πιθανολογίας βαθμοὺς, καὶ βεβαιότητος, κτ: κτ: διὰ τοῦτο γὰρ καὶ ὄργανον ἡ Λογικὴ προσείρηται, καὶ τρόπος τοῦ ἐπίστασθαι, καὶ τέχνη τοῦ νοεῖν, καὶ κανὼν, καὶ τὰ ἄλλα, ὡς ἐν τοῖς προλεγομένοις δεδήλωται.

Περὶ μὲν οὖν τὰς τοῦ προτεθέντος ἀνωτέρω συλλογισμοῦ προκειμένας, ταῦτα ἐπιθεωρῆσαι μὲν, καὶ παρασημειῶσαι ἐχρῆν. τὸ γεμὴν ἐξ αὐτῶν συναχθῆναι δυνάμενον, ὁποῖον;

„ Ἆρα . . . . . τί ἄρα; στίξας καθεξῆς ἐπὶ τοσοῦτον ἠρκέσθη. ἀλλ' ἐκ τῶν κειμένων, ὧν αὐτὸς ὑπέθετο, τὸ συναγόμενον, ὡς παντὶ πάρεστι συνιδεῖν, οὐκ ἂν εἴη ἄλλο, ἢ τὸ ἑξῆς . . . .

Ἆρα ἡ Λογικὴ οὐκ ἔστιν Ἀποκάλυψις. Ἢ τί γὰρ ἄλλο; τὸ δέ; καὶ διὰ

μιᾶς



μιᾶς προσενεχθὲν προτάσεως ταύτης, οὐδεὶς οὐκ ἂν ἀξιώσειεν: ἐν γένει καὶ γὰρ ὧνπερ ἂν ἕξεων, ἢ ἐπιστημῶν, ἢ τεχνῶν, τὰ περὶ ἃ ἐνασχολούμεναί εἰσι, φύσει, ἢ εἴδει, ἐστὶ διαφέροντα, ἐκεῖναι πάντως τῇ φύσει, ἢ τῷ εἴδει διαφέρουσιν. Ἀλλ' οὐ τοῦτο τῷ Ψαλίδᾳ προὔκειτο δεῖξαι. ἐκεῖνο δὲ μάλιστα, ὅπερ αὐτὸς ἀνωτέρω προέθετο, ἐπὶ λέξεως εἰπών: „ ὅτι ἡ Ἀποκάλυψις πηγὴ ἰδεῶν „ ῥηθῆναι οὐ δύναται. τοῦτο δ' ἐστίν, ὅπερ „ ἀτοπώτατον καὶ βλασφημότατον, καὶ μηδεμίαν ὑπερβολὴν ἀσεβείας ἀπολεῖπον. ὅτι, δηλ: ὁ τὴν ψυχὴν ἐκ τοῦ μὴ ὄντος δημιουργήσας Θεὸς, καὶ τὴν δύναμιν αὐτῇ τοῦ νοεῖν χαρισάμενος, εἰς ἔννοιάν τινα αὐτὴν κινῆσαί τε καὶ διεγεῖραι ἀμέσως, ἄνευ δηλ: τῆς τῶν αἰσθήσεων ὑπουργίας ἀδυνατεῖ. Καὶ ὁ μὲν Α:ος τῶν καθ' ἡμῶν αὐτοῦ συλλογισμῶν τοιοῦτος. συνάγων παρ' ὃ αὐτὸς ἐβούλετο ὁ διαλεκτικὸς, παντάπασιν ἄλλο: οὐχ ὅπερ οὐ θέλομεν, ἀλλ' ὃ καὶ αὐτοὶ ὡς ἥδιστα καθομολογοῦμεν. τό: Ἆρα ἡ Λογική, οὐκ ἔστιν Ἀποκάλυψις. καὶ συμβαίνει ἀτεχνῶς τὸ τῆς παροιμίας. Ἄμας ἀπῄτουν, οἱ δ' ἀπηρνοῦντο σκάφας.

„ Ὁ δὲ

» Ὁ δὲ Β τύπος τῶν ἐξ αὐτοῦ συλλογισ-
» μῶν, οὗτος. Η' Λογικὴ καταγίνεται
» εἰς τὰς κοινὰς ἰδέας. ἀλλὰ μὴν τῆς
» Ἀποκαλύψεως δὲν εἶναι τοιαῦται.
» Ἄρα . . . . . . . . . . . .

Σημειωτέον κἀνταῦθα τὴν ἐλάσσονα τῶν προτάσεων κατ' αὐτοῦ φέρεσθαι, τοῦ μηδαμῶς ἰδέας δοξάζοντος εἶναι ἄλλας, παρ' ἃς ἀγυιῶς καλεῖν χαίρει κοινάς. ἔπειτα δὲ τούτου ἐπιπλασθέντος, καὶ ἐν οἷς ὧδε ἀποφαίνεται ὑποτιθεμένου εἶναι καὶ ἄλλας, ὅμως μέντοι καὶ τοῦτο αὐτῷ συγχωρήσαντες τὸ ἀσυστάθμητον τῶν λογισμῶν καὶ παλίμβολον διερωτῶμεν πάλιν: τί διαφέρει ὁ καὶ ὁ συλλογισμὸς οὗτος τοῦ ἀνωτέρω; ἢ τί τὸ ἐκ τοῦ Β. τούτου συναγόμενον; οὐδὲν, ἀλλ' ἢ τὸ ἐκ τοῦ Α. . . . . . . . . . . .

Ἄρα . . . . . . . . . . . . . .

Καὶ ὁ Γ τύπος δὲ τῶν Ψαλιδικῶν συλλογισμῶν τοιοῦτος.

» Αἱ ἰδέαι τῆς Ἀποκαλύψεως ὑπὲρ
» λόγον εἰσίν. (ἄρα εἰσὶ καὶ τοιαῦται
» ἰδέαι. καὶ οὐδὲν πρὸς αὐτὰς τὸ Βλίτυρι,
» καὶ τὸ σκινδαψός, καὶ τὸ Ταραταντάρα,
» (ἔξεστι καὶ γὰρ πρὸς ληροῦντα καὶ λη-
» ρεῖν.) καὶ ἡμεῖς τὰς τοιαύτας ἰδέας
» τὰς



» τὰς ἐκ τῆς πηγαίας ἀληθείας ἀπαυγα-
» σθείσας ἀσμένως ἀποδεξόμεθα.)

Ἀλλὰ μὴν αἱ τῆς Λογικῆς εἰσι κατὰ λόγον τὸν ἀνθρώπῳ φύσει προσήκοντα. — πάντως γε, ὅσαι περὶ τὰς Λογικὰς μεθόδους, καὶ τέχνας τοῦ νοεῖν ἀναστρέφονται, ὡς, χρείας οὔσης, καὶ ἐπὶ θεολογικῶν ἐνίοτε θεωριῶν ἐπιχρώμεθα, καθάπερ ἀνωτέρω, ἐπὶ τῆς ἐλάσσονος τοῦ Α. συλλογισμοῦ σεσημείωται. ἔστω γοῦν οὕτω, συγχωρείσθω καὶ ἡ ἐνταῦθα ἐλάσσων· τί οὖν καὶ ὧδε τὸ συναγόμενον; ἄρα . . . .

» Τί ἄλλο πρὸς θεοῦ; πλὴν ἤγε αὐτὸ
» ἐκεῖνο πάλιν; Ἄρα ἡ Λογικὴ οὐκ ἔστιν
» Ἀποκάλυψις. Καὶ οὐδ' ὁ συλλογισ-
» μὸς οὗτος τοῦ ἀνωτέρω διοίσει. οὐδ' ὅσον
» φάναι, οὐδ' ὄν. τοῦ εἶχε τὸν λογισμὸν
» ὁ Ψαλίδας, ἐν ᾧ ταῦτα ἀπεψαλίδιζεν;
» ἢ οὐκ ἐπ' αὐτῷ εἰκότως ἐγγελάσονται
» καὶ οἱ παῖδες; ἑξάκις ἐκεῖνο ἐπαναλα-
» βόντι ψιλῶς τὸ κατάστικτον; ἄρα . . . . .
» ἄρα . . . . ἄρα . . . . κτ. Ἀλλὰ μήπο-
» τε ὑπὲρ ὃ ἔδει, μᾶλλον δὲ καὶ παρ' ὃ
» ἔδει, καὶ αὐτοὶ εἰς τὴν καὶ παιτὶ κα-
» ταγέλαστον τοῦ Ψαλίδα τερθρείαν ταύ-
» την, φέροντες ἑαυτοὺς ἐνεβάλομεν;

Ἀλ-

Ἀλλὰ γάρ, ἐπειδὴ εἰς τοῦτο κατηντή-
σαμεν τῇ φιλικωτάτῃ προτροπῇ πεισθέντες,
προσφιλέστατε κὺρ Παγκράτιε, φέρε δή,
καθὼς συνειδόμεν τε καὶ ἐπέγνωμεν, τὸν
κριτικόν τε καὶ διαλεκτικόν. συνοψώμεθα
νῦν, καὶ ἐπιγνωσώμεθα συντόμως, καὶ τὸν
μαθηματικὸν καὶ γεωμέτρην.

Α: ἐλέγχει εἰπόντας. ὅτι Πυθα-
„ γόρας ἐξεῦρε τὴν ὑποτείνουσαν τοῖς ἐν
„ τριγώνοις ὀρθογωνίοις, ἴσα δύνασθαι
„ ταῖς περιεχούσαις τὴν γωνίαν πλευραῖς.
„ ἔδει γὰρ εἰπεῖν, (φησὶν) ὡς εἶπεν Εὐ-
„ κλείδης: ὅτι, τὸ ἀπὸ τῆς τὴν ὀρθὴν
„ γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγω-
„ νον, ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν τὴν ὀρ-
„ θὴν γωνίαν περιεχουσῶν πλευρῶν τετρα-
„ γώνοις. ἐπειδὴ (λέγει) ὄχι ἡ ὑποτεί-
„ νουσα ἴσα δύναται ταῖς περιεχούσαις τὴν
„ ὀρθὴν γωνίαν πλευραῖς, ἀλλὰ τὸ τετρά-
„ γωνον τῆς ὑποτεινούσης ἴσα δύναται τοῖς
„ τετραγώνοις τῶν περιεχουσῶν τὴν ὀρθὴν
„ γωνίαν πλευρῶν. καὶ μὲ τοῦτο δείχνει ὁ
„ Εὐγένιος πόσην ἐμπειρίαν ἔχει εἰς τὰ
„ μαθηματικά. ——— πρὸς δὴ ταῦτα
ἀποκρινῶμεν: ὅτι ὁ Εὐγένιος περὶ τὰ μα-
θηματικὰ εἰδήσεις ἔχειν ὁμολογεῖ πολ-

λὰ



λὰ μετρίας. προστίθησιν ὅμως, ὅτι ὁ
πτωχὸς Ψαλίδας οὐκ οἶδε τί λέγει. ὡς
ἀγνοῶν τὸ κοινὸν τοῦτο, καὶ τοῖς περὶ τὴν
γεωμετρίαν ἄρτι φύειν ἀρχομένοις ὀδόντας
κατάδηλον. ὅτι, τὸ ἴσα δύνασθαι τὴν
ὑποτείνουσαν, αὐτὸ τοῦτο δηλοῖ τὸ ἀπὸ
τῆς ὑποτεινούσης τετράγωνον, καὶ ἕτερον
οὐδέν. καὶ ὡσαύτως, τὸ δύνασθαι τὰς τὴν
ὀρθὴν γωνίαν περιεχούσας πλευράς, ταὐ-
τὸ σημαίνει, τὰ ἀπ᾽ ἐκείνων τετράγωνα,
καὶ οὐδὲν ἄλλο. ἡ γὰρ δύναμις τῆς εὐθείας,
οὐκ ἔστιν ἡ εὐθεῖα αὐτή, ἀλλὰ τὸ ἀπ᾽
αὐτῆς ἀναφυόμενον, ὡς ἀπὸ ῥίζης τετρά-
γωνον. καθάπερ οὖν καὶ ἡ τοῦ τετραγώνου
δύναμις ἐστὶν ὁ κύβος, καὶ ἡ τοῦ κύβου ἀμέ-
σως, ὁ κυβόκυβος καθεξῆς, κτ. ἐκ δυ-
νάμεως εἰς δύναμιν τῆς προόδου προαγο-
μένης, κατὰ τοὺς περὶ τὰ μαθήματα. πολὺ
δὲ διαφέρει, μᾶλλον δὲ τὸ πᾶν, τὸ τὰς
εὐθείας ἴσας εἶναι, τοῦ ἴσα δύνασθαι. καὶ
ἀνάπαλιν: αἱ μὲν γὰρ εὐθεῖαι, περὶ ὧν
ὁ λόγος, ἴσα μὲν δύνανται, ἴσαι δ᾽ οὐκ
εἰσίν. ὅπερ ἐστίν, οὐκ αὐταί, ἀλλ᾽ αἱ ἀπ᾽
αὐτῶν δυνάμεις, καίτοι μὴ ἴσων, ἴσαι
εἰσί. τοῦθ᾽, ὅπερ μὴ εἰδὼς ὁ Ψαλίδας, ἐν
ᾧ ἐλέγξαι ἡμᾶς ἐπειράσατο, τὴν αὐτὸς

αὐτοῦ

αὐτοῦ ἀπαιδευσίαν κατάδηλον ἔξησεν. εὑ-
θετοῦσι καὶ τὰς μὲν δύο τῶν πλευρῶν, ἐπὶ
παντὸς τριγώνου ὀρθογωνίου ἢ μή, ἰσοπλεύ-
ρου καὶ ἰσοσκελοῦς ἢ μή, πάντῃ μεταλαμ-
βανομένας, ἀεὶ τῆς λοιπῆς μείζονας εἶναι,
μηδέποτε δὲ ἴσας, ἐκ πολλοῦ τοῦτο ἴσμεν.
ἐπὶ δὲ τῆς Ψαλίδος ταύτης, τοῖν σκελοῖν
διαπεταμένοιν, εἰς εἶδος τριγώνου σταθείσης,
καὶ πλευρὰς οἷον τρεῖς, τὴν μὲν γραμμα-
τικήν, τὴν δὲ διαλεκτικήν, τὴν δὲ γεω-
μετρικὴν ἐπιδείξασθαι τολμησάσης. ἰδοὺ
νῦν καὶ τρίγωνον εἴδομεν, τὰς πλευρὰς ὑπερ-
φυῶς ἴσας ἔχον, καὶ ἀλλήλαις καὶ ἑκάστην
ἑκάστῃ, καὶ ἑκάστην ταῖς λοιπαῖς, κατὰ
πᾶσαν καὶ παντοίαν μετάληψιν. ἴσος γὰρ
ἐνταῦθα ἡμῖν ἀνεφάνη, ὁ γραμματικὸς τῷ
διαλεκτικῷ, καὶ ὁ διαλεκτικὸς τῷ γεωμέτρῃ,
καὶ τούτων ἕκαστος δυσὶ τοῖς λοιποῖς, καὶ
ἐναλλὰξ καὶ ἀνάπαλιν.

Ἀλλ' ὅμως ὁ θαυμαστὸς οὗτος γεωμέ-
τρης ἀγεωμετρήτους ἡμᾶς ἐπεφώρασεν, ἔτι
Β:ον καὶ κατὰ τοῦτο: „ ὅτι ἐκεῖνο (λέγει)
„ ὅπου ὁ Διογένης ὁ Λαέρτιος παρέβλε-
„ ψεν, ἀνεξετάστως ἡμεῖς καὶ ἐσφαλμένως
„ τὸ ἀναφέρομεν. εἶτα προστίθησιν ἐπανα-
„ λαβὼν μικρὸν κατωτέρω: ὅτι αὐτὸ ὅπου

„ ὁ



„ ὁ Διογένης ὁ Λαέρτιος ὀρθῶς ἱστόρη-
„ σεν, αὐτὸς (ὁ Εὐγένιος) ὄχι μόνον
„ ἀσαφέστατα τὸ ἐξέφρασεν, ἀλλὰ καὶ ἄνευ
„ πάσης ἐννοίας. ἐπειδὴ ὁ Διογένης, λέ-
„ γει: πρῶτον καταγράψαι ἐπὶ ἡμι-
„ κυκλίου τὸ τρίγωνον ὀρθογώνιον. καὶ
„ ὁ Εὐγένιος: ὁ δὲ Θαλῆς πρῶτος κα-
„ ταγράψαι λέγεται κύκλου τὸ τρίγω-
„ νον. ὅθεν ὁρᾷς, (ὁ Ψαλίδας συμπεραί-
„ νει) ὅτι καὶ μαθηματικῶς φανερὰ φα-
„ νερὰ ἀντιφάσκει. (ἧκεν ὁ Εὐγένιος).
καὶ ὁ μὲν Κριτικὸ — Διαλεκτικὸ — Μα-
θηματικὸς ταῦτα. ἡμεῖς δέ, κἂν τούτοις
μὴ θαυμάζειν οὐκ ἔχομεν τὴν τοῦ ἀνθρώ-
που (πῶς ἂν οἰκειότερον εἴποιμεν;) ἐκ
θρασύτητος ἀπαιδευσίαν; ἢ ἐξ ἀπαιδευσίας
ἀναίδειαν; ἢ τὴν ἐξ ἀμφοῖν ἀποτύφλω-
σιν; καθ' ἣν αὐτὸς ἑαυτῷ λαμπρῶς ἀν-
τινενεύσαται, καὶ ἄντικρυς ἀντιφερόμενος.
„ πρῶτον λέγει, ὅτι ὁ Λαέρτιος παρέ-
„ βλεψε. τουτέστιν ἐσφάλη. ὃ καὶ ὁ Εὐγέ-
„ νιος, μὴ ἐξετάσας, ἐσφαλμένος ἀνα-
„ φέρει. ἔπειτα μετ' ὀλίγον ἐπάγει τὸν
„ Λαέρτιον ὀρθῶς ἱστορήσαντα. προστίθησι
„ γάρ, ὅτι Διογένης ὁ Λαέρτιος ὀρ-
„ θῶς ἱστόρησε. πῶς οὖν ὁ Διογένης πα-

„ ρέ

» ρέβλεψεν, εἰ ὀρθῶς ἱστόρησε; πῶς δ' » ὀρθῶς ἱστόρησεν, εἰ παρέβλεψεν; Ἀλ» λὰ παρέβλεψε μὲν, ἢ (τ' ἀληθέστερον » εἰπεῖν) ἀβλεψίαν νοσῶν ὅλως οὐκ ἔβλεψεν ὁ Ψαλίδας. ὁ γὰρ Λαέρτιος περὶ τοῦ Θάλητος ἱστορῆσαι προέθετο, οὐχ (ὅπερ » ὁ Ψαλίδας ἐνόμισεν) ὅτι πρῶτος κα» τέγραψεν ἐπὶ ἡμικυκλίου τὸ τρίγωνον ὀρθογώνιον. τοῦτο γὰρ οὐδὲ πρόβλημα ἦν δυσχερεστέρας ἐπιδεὲς ἐπιλύσεως, ὥστε καὶ θαυμασθῆναι διὰ τὴν εὕρεσιν. πάντα γὰρ τὰ ἐν τῷ ἡμικυκλίῳ ἐγγραφόμενα τρίγωνα, ἀφ' ἑκατέρου τῶν τῆς διαμέτρου περάτων, ἐφ' ὁποιονοῦν τῶν ἐπὶ τῆς ἡμιπεριφερείας σημεῖον, εὐθειῶν ἀγομένων, ὀρθογώνιά εἰσιν. ἡ δὲ κατασκευὴ διὰ μόνου τοῦ πρώτου τῶν γεωμετρικῶν αἰτημάτων περαίνεται. διὸ οὐδὲ τοῖς προβλήμασι συνηρίθμηται τοῦτο, θεώρημα μᾶλλον ὄν, ἀπὸ τῆς Α:ης προτάσεως τοῦ Α:ου τῶν Εὐκλείδου στοιχείων ἐξηρτημένον. » Ἀλλὰ τὸν Θάλητα Λαέρτιος ἱστο» ρήσας παρέδωκεν (ὡς Εὐγένιος καθηγή» σατο) πρῶτον καταγράψαι λέγεσθαι » κύκλου τὸ τρίγωνον. τοῦτο δὲ πρόβλημα κυρίως ἐστὶν, εἰς ἑνὸς πλείονα μεριζόμενον, καὶ εἰς ἐπίλυσιν τετραχῶς προβαλλόμενον.



μενον. τὸ γὰρ καταγράψαι ῥῆμα ληφθὲν γενικωτέρως, ἐκφέρει ἑκάτερον: τό, τε ἐγγράψαι, καὶ τὸ περιγράψαι. ἤτοι: 1. τρίγωνον ἐν κύκλῳ. ἢ 2. περὶ κύκλον: ἢ γοῦν 3. κύκλον ἐν τριγώνῳ. ἢ 4 περὶ τὸ τρίγωνον. προβάλλεται δὲ τὰ τέσσαρα ταῦτα προβλήματα ἐν τῷ Δ! τῶν στοι» χείων, ὡς ἐφεξῆς. πρότ: Β! εἰς τὸν » δοθέντα κύκλον, τῷ δοθέντι τριγώνῳ » ἰσογώνιον τρίγωνον ἐγγράψαι. — καὶ » πρότ: Γ. περὶ τὸν δοθέντα κύκλον, » τῷ δοθέντι τριγώνῳ ἰσογώνιον τρίγωνον » περιγράψαι. — καὶ πρότ. Δ! εἰς τὸ δο» θὲν τρίγωνον κύκλον ἐγγράψαι. — » καὶ πρότ. Ε! περὶ τὸ δοθὲν τρίγωνον » κύκλον γράψαι. ὃ ταυτόν ἐστι, τῷ: » σημείων τριῶν δοθέντων, μὴ ἐπ' εὐθεί» ας κειμένων, κύκλον δι' αὐτῶν ἀγόμενον » γράψαι. εἰς δὴ ταῦτα φέρει, ὅπερ ἡμῖν » εἴρηται, ὅτι κατὰ τὸν Λαέρτιον Θαλῆς » πρῶτος καταγράψαι λέγεται κύκλου τὸ » τρίγωνον. εἴρηται γὰρ οὕτω κοινῇ κα» ταγράψαι, ἀντὶ τοῦ καὶ ἐγγράψαι καὶ » περιγράψαι κύκλου τὸ τρίγωνον. Ἀλλὰ ταῦτα πάντα ἡ γεωμετρικὴ ψαλὶς ἀμβλεῖά τις οὖσα, διατεμεῖν τε καὶ διακρῖναι

οὐκ ἴσχυσεν. ὅτι δὲ ἄρα Θαλῆς τῶν ἐν
» τῷ λ' τῶν στοιχείων τὰ τέτταρα ἐκεῖνα προβλήματα ἐξευρηκέναι ἱστόρηται, ἐφ' οἷς καὶ θῦσαι βοῦν ὑπερησθεὶς τῷ εὑρήματι, ἄλλοι τε παρέδωκαν ἀμφὶ τὸν Λαέρτιον, καὶ Ἀνδρέας ὁ Τακουέτιος ἐν τῇ ἱστορικῇ ἀφηγήσει, περὶ ἀρχῆς καὶ προόδου τῶν μαθημάτων, ἣν κατ' ἐπιτομὴν πρὸ τῆς γεωμετρίας, ἣν ἐγένετο συγγράψας προέταξεν. ὡς καὶ ἡμεῖς πρὸ τῆς Λογικῆς, ἣν ὁ γεννάδας, ὡς ἐλλειπῆ τε οὖσαν καὶ κάτισχνον ἀπεκάκιζεν.

Ταῦτα μὲν δή, λογιώτατε κὺρ Παγκράτιε, τὰ ἐν τῷ βιβλιδαρίῳ τῶν Καλλικωνημάτων ἦν τοιαῦτα, ὡς ὁρᾷς, καὶ οὕτω γενναῖα. πρὸς ἃ καίτοι χαρισαμένοις λιπαρῶς αἰτησαμένῳ, εἰπεῖν ἐπῆλθεν ἅττα καὶ λέλεκται.

Ὁ δ' οὖν Ψαλίδας, οὐδ' ἐπ' ἐκείνοις μόνοις ἠρκέσθη, ἰσχυρῶς δ' οὕτω καὶ τὴν κοπίδα καὶ τὸν σάγαριν τὸν αὐτοῦ ἡμῖν ἐπανασείσας, τὸ ἐκ τοῦδε ἐφ' ἕτερον ὁπλομαχίας εἶδος ἀξάττετο, καὶ τοξείᾳ ἔτι προσχρήσασθαι δεῖν ἐγνωκώς, ὅλην φαρέτραν λοιδοριῶν τε καὶ ὕβρεων καθ' ἡμῶν ἐξεκένωσε. τὸν γὰρ ἄνδρα ἔφη, (τὸν Εὐ-

γέ-



νιον) θεωρητικῶς ἰδόντας, καὶ πρακτικῶς ἔδει, εἴτ' οὖν πολιτικῶς ἀνασκέψασθαι. ὡς ἂν δηλονότι ἐλεγχθείη τὸ δοκοῦν ἐν ἡμῖν χρυσίον περικρουσθέν, ὅσον κίβδηλον ἦχει καὶ ὑπόχαλκον. ἐπιτετήδευται δὴ τὴν τοξείαν, ὡς ἐν ἱππομαχίαις ἔχει λόγος τοὺς Παρθυαίους τοξοτῶν φεύγοντας, καὶ ἀπὸ νώτων ἀφιέντας τὰ βέλη. πάνυ ῥητορικῶς κατὰ σχῆμα δὴ παραλείψεως, ἢ ἀποσιωπήσεως, τάχα ἀποχωρῶν, καὶ ἅμα συχνὰ καθ' ἡμῶν βάλλων, καὶ ἀκρατῶς καὶ ἀσελγῶς κατασκεδάζων, ὅσα ἐπ' ἀκαιρίμην γλῶτταν αὐτῷ ἐπελήλυθεν. ἐπ' οὐδενὶ μὲν ταῦτα χρησίμῳ ἐπισπεύσας, ἀλλ' ὅτι πρὸς ἐξουδένωσιν καὶ προπηλακισμὸν ἡμῶν αὐτὰ τείνοντα. οἷον, ὅτι τῇ
» Μεγάλῃ Αὐτοκράτορι κελευσάσῃ ἡμεῖς
» πειθαρχήσαντες, τῇ τε ἡμετέρᾳ γένους
» εὐεργέτιδι καὶ προστάτιδι, τὸν Λατῖνον
» ποιητὴν Μάρωνα (τὸν τὴν Αἰνείου φυ-
» γήν, ἀπὸ τῆς Τρωάδος, φησίν, εἰς τὴν
» Ῥώμην καὶ τὰ Γεωργικὰ ποιήσαντα) ὡς
» οἷοί τε ἦν ἐξελληνίσαντες ἑρμηνεύσαμεν...
» Ὅτι τὴν τοῦ Γερμανοῦ [illegible], ξη-
» ρὰν, καὶ ἰσχνὴν Ἀριθμητικήν, καὶ Γεω-
» μετρίαν, δυνατῶς μετεφράσαμεν πρότε-



» ρον.

ρον . . . . ὅτι ἰδιωτικῶς καὶ ἀπαιδεύτως τὴν Οὐιργιλιακὴν στιχουργίαν ἀπεδώκαμεν . . . . ὅτι τῆς Ὁμήρου δυνάμεως καὶ γλώσσης καὶ χάριτος ἐφικέσθαι οὐκ ἐξισχύσαμεν . . . . Ὅτι τὸν γοῦν Πλάτωνα αἰδεσθῆναι τὸν μὴ δυνηθέντα ἐπ' ἀκριβὲς ὁμιλῆσαι οὐχ ὑπεστάλημεν . . . . ὅτι συρράψαι τινὰ, ἢ μεταφράσασθαι ἐπιμελὲς ἐθέμεθα κατὰ κενοδοξίαν, καὶ ἐγωϊσμὸν, (ὥς φησι) καὶ ὑπερηφανίαν, καὶ ἔπαρσιν . . . . ὅτι ἡμεῖς ὀφθῆναι, ὡς ἄλλος Εὐκλείδης, ἄλλος Ἀρχιμήδης, ἄλλος Πλάτων καὶ Ἀριστοτέλης. ἢ ἄλλος Καρτέσιος, Νεύτων, καὶ Λεϊβνίτιος. (οἶδε γὰρ ἀκούσας αὐτῶν τὰ ὀνόματα) καί τοιγε, πολλῶν ἕνεκα πλεονεκτημάτων (ὡς λέγει διασαρκάζων) ῥᾷστα αὖ δυνηθέντες, οὐκ ἐσπουδάσαμεν . . . . ὅτι ἑρμηνεύειν ᾑρημένοι τὰ τῶν ἄλλων, ἔργον ἀνεβαλόμεθα μεγάλης τῷ ὄντι ἐντροπῆς πρᾶξιν ἂν, δοῦλοι ἀντ' ἐλευθέρων γενόμενοι . . . . ὅτι τῆς πατρίδος ἡμῶν, καὶ τοῦ γένους ὅλου καταφρονήσαμεν . . . . ὅτι ὡς φυγάδες τινὲς καὶ ἀλῆται καὶ πλάνοι, ἐπὶ πάντα τὰ ξένα καὶ βάρβαρα γένη προσφυγεῖν, καὶ μεταξὺ

τῶν



τῶν βαρβάρων τούτων ἐνδιατρίβειν ᾑρετισάμεθα . . . . ὅτι τῆς ἡδονῆς καὶ τῆς γαστέρος δεύτερον τὸν πατριωτισμὸν ποιησάμενοι, πατρίδα μὲν ἐθέμεθα, φησὶν, ὅλην τὴν γῆν, καὶ πόλιν τὴν Ῥωσσίαν, καὶ συμπολίτας τοὺς Ἄρκτους . . . . ὅτι τοῦτο προήρηται ὁ Εὐγένιος διὰ παρμικρὰ αἴτια, χωρὶς νὰ κινδυνεύῃ (λέγει) εἰς τὸ γένος του, οὔτε ἡ ζωή του, οὔτε ἡ ὑπόληψίς του, καθὼς εἰς ὅλους (ἰοὺ ἰού.) εἶναι γνωστόν . . . . κτ. κτ. κτ.

καὶ ταῦτα μὲν δὴ ταῦτα, ὁ καλὸς καθ' ἡμῶν Ψαλίδας

ἡμεῖς δὲ πρὸς αὐτὰ τί ἀποκρινούμεθα;

## ΟΥΔΕΝ.

Ἀλλ' ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

ἔῤῥωσο Ἀγαπητὲ, καὶ τοιαῦτα τοῦ λοιποῦ, μηκέτι μοι μηδ' ἀναγγείλαις μηδὲ προβάλοιο,

ὅ, τι ἄντις καὶ εἴποι κατ' ἐμοῦ, ἢ γράψειεν.

# ΠΑΡΟΡΑΜΑΤΑ ΤΟΥ ΤΥΠΟΥ.

Σελίδι 5 στίχῳ 9 ἀντὶ τοῦ ἀντιτρώσκει, ἀνάγνωθι: ἀντιτιτρώσκει.

| | | | |
|---|---|---|---|
| | 10 | διριμύτερον | δριμύτερον. |
| | 20 | θρὶ | θρί. |
| 7 | 9 | ἐκτίνισεν | ἐκτόνισεν. |
| 9 | 17 | ἀνόιιας | ἀνόιας. |
| 10 | 13 | φθονεῖτθαι | φθονεῖσθαι. |
| 16 | 6 | συντελῆ πρὸς | συντελῆπως. |
| 26 | 9 | ἵ | ἄν. |
| 34 | 6 | ἴσω | ἔσω. |
| 35 | 23 | γινέσθαι | γενέσθαι. |
| 41 | 10 | εἰσών | εἰπών. |
| 42 | 20 | συλλογισμών | συλλογισμῶν. |
| 43 | 6 | μηθόδους | μεθόδους. |
| 44 | 3 | Παγκράρατιου | Παγκρατίου. |
| 46 | 14 | ἑκάστη | ἑκάστῃ. |
| 49 | 20 | εἴρηται | εἴρηται. |
| 50 | 21 | ἀτράπετο | ἐτράπετο. |
| 53 | 3 | γαστήρης | γαστέρος. |